HAGIOSOPHIE

[illegible] θεωρία

περὶ τῶν ἠθικῶν.

ARISTOTELES'

ANSICHT

VON DEN ETHISCHEN UND INTELLECTUELLEN UNTERSCHIEDEN DER MENSCHEN

VON

PANAG. A. HAGIOSOPHITES

DOCTOR DER PHILOSOPHIE

ATHEN

DRUCK «DER PALAMEDES»

1886.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ

ΘΕΩΡΙΑ

ΠΕΡΙ ΤΩΝ ΗΘΙΚΩΝ ΚΑΙ ΤΩΝ ΔΙΑΝΟΗΤΙΚΩΝ ΔΙΑΦΟΡΩΝ ΤΩΝ ΑΝΘΡΩΠΩΝ

ΥΠΟ

ΠΑΝΑΓΙΩΤΟΥ Α. ΑΓΙΟΣΟΦΙΤΟΥ

ΔΙΔΑΚΤΟΡΟΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ

ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ «Ο ΠΑΛΑΜΗΔΗΣ»

1886

Δύο λέξεις περὶ τοῦ, ᾧ ἐχρησάμην, κειμένου.

Ἡ παροῦσα διατριβὴ ἐξήχθη ἀμέσως ἐκ τῶν ἀριστοτελείων συγγραμμάτων· οὐκ ἔσχον ἑπομένως ὑπ' ὄψει οὐδένα, ἐπεὶ οὐδεὶς περὶ τοῦ ἀντικειμένου τοῦδε ἐπραγματεύσατο.

Εἰ καὶ περιωρίσθην κυρίως ἐν τοῖς γνησίοις ἀριστοτελικοῖς κειμένοις, ὅμως οὐκ ἀπηξίωσα προσοχῆς καὶ τὰ ὑπὸ τῶν κριτικῶν ὡς νόθα θεωρούμενα, ἐπειδὴ κατὰ τὴν ἐμὴν ἀκράδαντον πίστιν οἱ ταῦτα συγγραψάμενοι καὶ τῷ Ἀριστοτέλει ἀποδόντες τετηρήκασι τὸ ἐπ' αὐτοῖς αὐστηρῶς, ἵνα τοῖς ἐπιγιγνομένοις πιστοὶ γένωνται, τὰς ἀρχὰς αὐτοῦ κατ' ἀνάγκην. Ταὐτὸ ἀκριβῶς ῥητέον καὶ περὶ τῶν συλλογέων τῶν ἀριστοτελείων συγγραφῶν, οἳ ἀπεδίδοσαν σύγγραμμά τι τῷ Ἀριστοτέλει, εἰ καθ' ὕλην τε καὶ εἶδος ἐδόκει αὐτοῖς Ἀριστοτέλους εἶναι. Ὅτι ὅμως καὶ τούτων κἀκείνων ὑπεξέφυγον ἐνιαχοῦ παρεκδρομαί, αἳ αὐτοὺς τοῖς κριτικοῖς καὶ προδιδόασιν, εἴτε ἀναχρονισμοὺς ἀφορῶσαι εἴτε ἐσθ' ὅτε καὶ σύγχυσιν ἀρχῶν, οὐδεὶς ἄν, οἶμαι, ἀρνήσαιτο μεμνημένος πως ὢν τῶν ἀρχαίων φιλοσοφικῶν συστημάτων καὶ τῆς ἱστορικῆς αὐτῶν ἀναπτύξεως.

Ἐκδόσει δ' ἐχρησάμην τῇ τῆς ex recens. **I. Bekkeri** *βερολινείου Ἀκαδημίας 1831—70.*

Ἐν Ἰένῃ, τῇ 2 Αὐγούστου 1885.

Παναγιωτης Α. Αγιοσοφιτης

ΑΡΙΣΤΟΤΕΛΟΥΣ

ΘΕΩΡΙΑ

Περὶ τῶν ἠθικῶν καὶ διανοητικῶν διαφορῶν τῶν ἀνθρώπων.

§ 1.

Πρὶν προβῆναί με εἰς τὸ κύριον τῆς παρούσης διατριβῆς θέμα, θεωρῶ ἐπάναγκες προτάξαι ὀλίγα τινὰ ἐν προοιμίῳ περὶ ἀνθρώπου κατὰ τὰς ἀριστοτελείους ἀρχάς.

§ 2.

Ὁ Ἀριστοτέλης οὖν θεωρεῖ τὸν ἄνθρωπον ὡς ζῶον συνεστηκὸς ἐκ σώματος καὶ ψυχῆς, καὶ τὴν μὲν ψυχὴν ὡς φύσει ἄρχουσαν, τὸ δὲ σῶμα ὡς φύσει ἀρχόμενον[1]. Ὁ φιλόσοφος οὐχ ὑποβιβάζει μὲν τὸν ἄνθρωπον τῶν λοιπῶν ζῴων, μάλιστα δὲ καὶ ἐξαίρει αὐτόν[2], οὐχ ἧττον οὐ θεωρεῖ αὐτὸν ἀπολύτως τὸ ἄριστον τῶν ἐν τοῖς σύμπασιν[3]. Ὁ ἄνθρωπος κεκτημένος ψυχὴν λογικήν, κέκτηται καὶ τὰς ἐκ τῆς λογικῆς ταύτης οὐσίας κατ' ἀνάγκην ἀπορρεούσας ἰδιότητας· διὸ ὁ αὐτός ἐστι καὶ ζῶον σοφόν[4], καὶ ζῶον φρονιμώτατον[5], καὶ ζῶον βέλτιστον τῶν ἄλλων ζῴων[6]. Εἰ καὶ τὰ λοιπὰ τῶν ζῴων κέκτηνται ἴχνη τῶν περὶ τὴν ψυχὴν τρόπων, οἱ τρόποι μέντοι οὗτοι, ὄντες σκοτεινοὶ οὐκ ἔχουσι τὰς διαφορὰς αὐτῶν τόσον φανεράς, αἳ παρατηροῦνται ἐπὶ τῶν ἀνθρώπων[7]. Μόνον τοίνυν ἐπὶ τοῦ

---

1) Πολ. Α. 5. 1254. α 34. — 2) Πολ. Α. 2. 1253. α 9. — 3) Ἠθ. νικ. Ζ. 7. 1141. α. 34. — 4) Περὶ κόσμ. 3. 392. β. 18. — 5) Προβλ. Λ. 3. 955. β. 4. — 6) Ἠθ. νικ. Ζ. 7. 1141. α. 34. — 7) Περὶ τὰ ζῷα ἱστορία Θ. 1. 588. α. 18. 25.

ἀνθρώπου παρατηροῦνται ἐναργῶς αἱ διαφοραὶ τῶν τρόπων τῆς ψυχῆς, ἀλλ' ἐπὶ τοῦ ἀνθρώπου, ὃς κατά τε τὸ σῶμα καὶ τὴν ψυχὴν διάκειται βέλτιστα[1]. Διὸ προκειμένου κρῖναι περὶ ἠθικοῦ ἀνθρώπου δεῖ σκοπεῖν ἐν τοῖς κατὰ φύσιν ἔχουσι μᾶλλον τὸ φύσει καὶ μὴ ἐν τοῖς διεφθαρμένοις[2]· πολλάκις γὰρ παρατηρεῖ τις ἀνθρώπους μόνον κατὰ τὴν μορφὴν τῶν λοιπῶν ζῴων διαφέροντας· ὡς ἐκεῖνα γὰρ ἐνδίδωσι τῷ ὁρμεμφύτῳ αὐτῶν καὶ οὐδεμία δύναμις αὐτὰ ἀναχετίσαι οἷά τ' ἐστιν ἢ ἡ βία μόνη, οὕτω καὶ οὗτοι ἐνδιδόασι ταῖς κλίσεσι καὶ ὁρμαῖς αὐτῶν οὐδεμιᾷ ἄλλῃ δυνάμει ὑπείκοντες ἢ τῇ ἀνάγκῃ καὶ τῇ βίᾳ δίκην ὑποζυγίων[3]· παρὰ τοῖς τοιούτοις, φαίη τις ἄν, οὐδὲν συνήθως διαφέρει ἕτερον ἑτέρου καὶ δὴ πόρρω ἂν εἴησαν τοῦ ἄνθρωποι εἶναι[4].

Ἀλλὰ μέντοι ὁμολογητέον, ὅτι οἱαδήποτε κἂν ᾖ ἡ τοῦ σώματος καὶ τῆς ψυχῆς κατάστασις τοῦ ἀνθρώπου, οἱαδήποτε ἡ ἀγωγὴ καὶ ἡ ἐκπαίδευσις αὐτοῦ, οἱᾳδήποτε τάξει τῶν ἀνθρώπων κἂν ἀνήκῃ, ὁ ἄνθρωπος πέφυκε μᾶλλον πρὸς τὰς ἡδονάς, διὸ καὶ εὐκατάφορός ἐστι πρὸς ἀκολασίαν ἢ πρὸς κοσμιότητα[5].

Ὁ ἄνθρωπος ὡς λογικόν, καθ' ἃ εἴρηται, καὶ μόνον βουλευτικόν[6] ἐστι φρονιμώτατον τῶν λοιπῶν ζῴων· ἐκ τῆς ἰδιότητος δὲ ταύτης πηγάζει καὶ τὸ φύσει πολιτικὸν καὶ συνδυαστικὸν αὐτοῦ[7], ὅπερ ἐστὶν ἀναγκαῖον προϊὸν τῆς φύσεως· ἐπεὶ δ' οὐδαμοῦ καὶ οὐκ ἄλλως οἷόν τ' ἂν ἦν διὰ κανόνος ἔχειν τὴν ἑαυτοῦ φύσιν καὶ ῥυθμίσαι τὰς ἐκ ταύτης ῥεούσας κλίσεις καὶ τάσεις ἢ ἐν τῇ πολιτείᾳ συνῄσθετο τὴν ἀπόλυτον ταύτης ἀναγκαιότητα· ὥστε ἡ πολιτεία ἐστὶν ἀναγκαῖον προϊὸν τοῦ λόγου καὶ ἐντεῦθεν ἐκπαιδευτήριον, ἔνθα πραγματοῦνται αἱ ἀπαιτήσεις αἱ κατ' ἀνάγκην πηγάζουσαι ἐκ τοῦ λόγου καὶ τῆς φρονήσεως. Ἐν τῇ πολιτείᾳ ἄρα διὰ κανόνος ἄγεται καὶ ῥυθμίζεται κατὰ τὰς ἀπαιτήσεις τοῦ λόγου καὶ τῆς φρονήσεως

---

1) Πολ. Α. 5. 1254. α. 37. — 2) Πολ. Α. 5. 1254. α 36. — 3) Ἠθ. νικ. Κ. 10. 1179. β 29. — 4) Ἠθ. νικ. Γ. 14. 1119. α. 9. — 5) Ἠθ. νικ. Β. 8. 1109. α 14. — 6) Περὶ τὰ ζῷα ἱστορ. Α. 1. 488. β 24. — 7) Ἠθ. νικ. Ι. 9. 1169. β 18. Θ. 14. 1162. α 17.

ἡ ἀνθρωπίνη φύσις καὶ τὰ αὐτῇ πεφυκότα πάθη. Ὡς ὄργανον δὲ καὶ μέσον πρὸς τὸν σκοπὸν τοῦτον συμβάλλεται ὁ νόμος[1], τὸ ἔθος καὶ ἡ διδασκαλία[2]. Περὶ τῆς δυνάμεως δὲ τῶν τριῶν τούτων εἰς ἠθικὴν διάπλασιν μέσων οὐδεὶς ἄν, οἶμαι, ἀμφιβάλοι· ὁ νόμος καὶ ἡ διδασκαλία συμβάλλουσι τὰ μέγιστα τῷ ἔθει, οὗτινος ἡ ἠθικὴ ἀρετὴ εἴη ἂν ἄμεσον προϊόν· ὁ μὲν διατάττων καὶ ἀπαγορεύων, ἡ δὲ προτρέπουσα καὶ ἀποτρέπουσα· οὕτω δ' ἐπιτυγχάνεται τὸ ἀποτέλεσμα τοῦ ἔθους, οὗτινος τὴν δύναμιν ἀνομολογεῖ ὁ Ἀριστοτέλης ἐν τῷ λέγειν «οὐ μικρὸν διαφέρει τὸ οὕτως ἢ οὕτως εὐθὺς ἐκ νέων ἐθίζεσθαι, ἀλλὰ πάμπολυ, μᾶλλον δὲ τὸ πᾶν[3].

Ὁ ἄνθρωπος αὐτὸς καθ' ἑαυτὸν οὐκ ἔστιν οὔτε κακὸς οὔτ' αὖ ἀγαθός, αὐτός ἐστιν ἁπλοῦν τι ζῷον ἐπιδεκτικὸν ἀμφοτέρων, ὡς φέρων ἐν ἑαυτῷ τὰς ἠθικὰς καὶ διανοητικὰς ἀρετὰς καὶ κακίας μόνον δυνάμει. Ὥστε αἱ ἰδιότητες αὗται οὐκ ἐγγίγνονται αὐτῷ οὔτε φύσει οὐδ' αὖ παρὰ φύσιν. Ἐὰν διαταχθῇ καὶ διδαχθῇ ἐγκαίρως καὶ προσηκόντως τὸ καλὸν κἀγαθὸν πρᾶξαι, δύναται ἀναπτύξαι τὴν ἰδιότητα ἐκείνην τὴν τέως μόνον δυνάμει ἐν αὐτῷ διατελοῦσαν καὶ τελειοποιῆσαι καὶ διὰ τοῦ ἔθους ποιῆσαι αὐτὴν εἰς ἀρετὴν[4], καὶ οὕτως ἀποβῆναι τὸ βέλτιστον καὶ φρονιμώτατον τῶν ζῴων[5]. Ἐὰν δὲ τοὐναντίον εἴτε ἀφ' ἑαυτοῦ εἴτε διὰ κακοῦ τινος παραδείγματος, διεγερθῇ καὶ ἀναπτυχθῇ κακή τις ἰδιότης, ἥπερ τέως διετέλει ἐν αὐτῷ, ἅτε δυνάμει, ἄγνωστος, τελειοῦται καὶ οὕτω διὰ τοῦ ἔθους γίγνεται εἰς κακίαν, καὶ οὕτως ἀποβαίνει τὸ μωρότατον καὶ χείριστον πάντων[6], καὶ δὴ ὁ τοιοῦτος ἄνθρωπος διεφθαρμένος μυριοπλάσια κακὰ ποιήσειεν ἂν θηρίου[7]. Ὡς ἴδοι τις ἄν, εἷς καὶ ὁ αὐτὸς ἄνθρωπος ἠθικῶς ἐστι διπλοῦς, ὡς ἔπος εἰπεῖν, τὴν φύσιν καὶ εἰς τὴν ὑπόστασιν. Ὢν φύσει λογικός, καὶ φρονιμώτατος, φύσει συνδυαστικὸς καὶ κοινωνικός, ἢν χωρισθῇ νόμου καὶ

---

1) Ἠθ. νικ. Β. 1. 1103. 6 3. — 2) Ἠθ. νικ. Β. 1. 1103. α 14 - 19. καὶ 6 12 - 14. Πολ. Η. 14. 1333. α 12 - 15. — 3) Ἠθ. νικ. Β. 1. 1103. 6 23. — 4) Ἠθ. νικ. Β. 1. 1103. — 5) Πολ. Α. 2. 1253. α 33. — 6) Πολ. Α. 2. 1253. α 31 - 38. — 7) Ἠθ. νικ. Ζ. 7. 1150. α 7.

δίκης ἀποθηριοῦται τελέως καὶ ἀποβαίνει ἀνοσιώτατον καὶ πρὸς ἀφροδίσια καὶ ἐδωδὴν χείριστον[1]. Τὸ πᾶν ἄρα ἐξήρτηται ἐκ τῆς ἀναπτύξεως καὶ τελειοποιήσεως τῶν ἐν τῷ ἀνθρώπῳ ἠθικῶν καὶ διανοητικῶν ἀρετῶν· οὐκοῦν αὐτόδηλον τίνες ἰδιότητες ἀναπτυσσονται τοῖς ζῶσιν ἀνειμένως, κακουργοῦσιν ἢ ἐν πότοις καὶ τοῖς τοιούτοις διάγουσιν[2], τοῖς ἀποπτύσασι πάντα χαλινὸν σωφροσύνης καὶ βαίνουσιν ἀκατασχέτως κατὰ τὸν ῥοῦν τῶν φαύλων καὶ μοχθηρῶν καὶ αἰσχρῶν παθῶν αὐτῶν· οἱ τοιοῦτοι ἀποπτύσαντες ἅπαξ διὰ παντὸς τὸν σωτῆρα λόγον διὰ κανόνος ἄγουσι τὰς ἑαυτῶν πράξεις δι' ἠθῶν καὶ παθῶν φαύλων καὶ μοχθηρῶν· διὸ τὰ ἀποτελέσματα ἕπεται συνεπέστατα, ἅ ἐστι δόξαι τε καὶ ἐπιθυμίαι ἀκόλαστοι καὶ φαῦλαι[3].

Ἐκ τῶν εἰρημένων κατάδηλον γίγνεται, ὅτι ὁ Ἀριστοτέλης ἀποκρούει τὴν δόξαν τῶν νομιζόντων, ὅτι ἕκαστα τῶν ἠθῶν ὑπάρχει τοῖς ἀνθρώποις φύσει· καὶ γὰρ δίκαιοι, φασὶν οἱ οὕτω δοξάζοντες, καὶ σωφρονικοὶ καὶ ἀνδρεῖοι καὶ τἄλλα ἔχουσιν οἱ ἄνθρωποι εὐθὺς ἐξ ἀρχῆς[4], ἀποκρούει δὲ ταύτην ὡς ἀντικειμένην αὐτοῖς γε τοῖς πράγμασι· ναὶ μὲν οἱ ἄνθρωποι, φησὶν ὁ Ἀριστοτέλης, εἰσὶ δυνατοὶ φύσει καὶ πεφύκασι πρὸς τἀληθὲς[5], ἀγαθοὶ ἢ κακοὶ ὅμως οὐκ εἰσὶ φύσει[6], κέκτηνται μὲν τὰς ἰδιότητας ταύτας, ὡς ἐλέχθη, ἐν ἑαυτοῖς ἀλλὰ δυνάμει μόνον. Ὥστε τὸ πρῶτόν ἐστιν ἐκ τῶν προτέρων καὶ προσὸν φυσικόν, τὸ δὲ δεύτερον ἐκ τῶν ὑστέρων καὶ προϊὸν τοῦ ἔθους.

Λέγων δ' ὁ Ἀριστοτέλης ὅτι οἱ ἄνθρωποι πεφύκασιν ἄλλοι πρὸς ἄλλα ὡς τοῦτο γίγνεται γνώριμον ἐκ τῆς ἡδονῆς καὶ λύπης τῆς γιγνομένης περὶ αὐτούς[7]. Καὶ ὅτι τὸ αὐτὸ πρᾶγμα διαλλάσσει οὐ μικρὸν ἐπὶ τῶν ἀνθρώπων· τοὺς μὲν γὰρ τέρπει, τοὺς δὲ λυπεῖ, καὶ

1) Ἠθ. νικ. Γ. 13. 1118. β 2 - 4. Πολ. Α. 2. 1253. α 31 - 38. πρβλ. Γ. 16. 1287. α 28 - 30. — 2) Ἠθ. νικ. Γ. 7. 1114. α 4 - 6. — 3) Ρητ. Α. 10. 1369. α 15 - 24. — 4) Ἠθικ. νικ. Ζ. 13. 1144. β 4 - 6. — 5) Ρητ. Α. 1. 1355. α 15 - 17. — 6) Ἠθ. νικ. Β. 4. 1106. α 9 - 10. — 7) Ἠθ. νικ. Β. 9. 1109. β 1 - 5.

τοῖς μὲν λυπηρὸν καὶ μισητόν ἐστι, τοῖς δὲ ἡδὺ καὶ φιλητόν[1]. Καὶ τὸ ἀνωτέρω, ὅτι οἱ ἄνθρωποι πεφύκασι μᾶλλον πρὸς τὰς ἡδονάς, διὸ καὶ εὐκατάφοροί εἰσι πρὸς ἀκολασίαν ἢ πρὸς κοσμιότητα, νοεῖ τὸν διάφορον ὀργανισμὸν τῶν ἀνθρώπων διατεθειμένον οὕτως ἢ οὕτω, καὶ οὐχ ὅτι οἱ ἄνθρωποί εἰσι φύσει κακοὶ ἢ ἀγαθοί[2]. Ὅθεν ὁ ἄνθρωπος χρῄζει ἀπαραιτήτως καὶ νόμου καὶ ἔθους καὶ διδασκαλίας, ὡς εἴρηται[3], ἵνα παιδαγωγηθεὶς καὶ προσηκόντως ἀναπτύξας μὲν τὰς ἐν αὐτῷ ἠθικὰς καὶ διανοητικὰς ἀρετάς, καὶ ὅσον αὐτῷ ἐφικτὸν αὐτὰς τελειοποιήσας, ἀποπνίξας δὲ τὰς ἐναντίας κακίας, φέρῃ ἐπαξίως τὴν ἐπωνυμίαν *ἄνθρωπος*· εἰ μὴ γὰρ οὕτως εἶχε, λέγει ὁ Ἀριστοτέλης, οὐδὲν ἂν ἔδει τοῦ διδάξοντος, ἀλλὰ πάντες ἂν ἐγένοντο ἀγαθοὶ ἢ κακοί[4].

Τὴν μεγάλην ταύτην ἀλήθειάν φησι μαρτυρεῖ ἐναργῶς ἔτι καὶ τὸ γιγνόμενον ἐν ταῖς πόλεσιν· οἱ γὰρ νομοθέται τοὺς πολίτας ἐθίζοντες ποιοῦσιν ἀγαθούς.[5] Αὐτοὶ γὰρ ὡς σοφοὶ καὶ ἔμπειροι γιγνώσκουσιν, ὅτι ὅμοιόν τι τὸ ἔθος τῇ φύσει· ἐγγὺς γὰρ καὶ τὸ πολλάκις τῷ ἀεί, τὸ ἔθος δὲ τοῦ πολλάκις[6]. Οἱ νομοθέται ἔχοντες πᾶσαν ἠθικὴν καὶ διανοητικὴν ἀνάπτυξιν ἴσασιν, ὅτι ἡ τοῦ ἀνθρώπου ἀρετὴ εἴη ἂν ἕξις, ἀφ' ἧς ἀγαθὸς ἄνθρωπος γίγνεται[7], ὅτι πᾶσα ψυχῆς ἕξις ἔχει τὴν φύσιν πρὸς ταῦτα καὶ περὶ ταῦτα, ἐφ' οἵων πέφυκε γίγνεσθαι χείρων καὶ βελτίων[8], ὅτι τέλος ἐφ' ἡμῖν κεῖται τὸ γενέσθαι ἀγαθοῖς ἢ κακοῖς, ἐπιεικέσιν ἢ φαύλοις[9]. Ἐντεῦθεν οὖν γίγνεται δῆλον, ὅτι τὸ πᾶν ἐξήρτηται ἐκ τῆς ἡμετέρας βουλήσεως· ἡ φύσις γὰρ συνεργεῖ ἀναντιρρήτως ταῖς προσπαθείαις καὶ ἀγῶσιν ἡμῶν ἢ τοὐναντίον παρέχει ἡμῖν δυσχερείας πρὸς ἀνάπτυξιν καὶ τελειοποίησιν τῶν ἐν ἡμῖν ἠθικῶν καὶ διανοητικῶν ἀρετῶν, καὶ

---

1) Ἠθ. νικ. Κ. 5. 1176. α 8 - 12. — 2) Πρβλ. Ἠθικ. νικ. Κ. 10. 1179. — 3) Ἠθικ. νικ. Β. 1. 1103. — 4) Ἠθικ. νικ. Β. 1. 1103. б 12 - 13. — 5) Ἠθικ. νικ. Β. 1. 1103. б 3 - 4. Α. 13. 1102. α 9 - 10. Πολ. Η 14. 1333 α 11 - 15. — 6) Ρητ. Α. 11. 1370. α 6 - 9. — 7) Ἠθικ. νικ. Β. 5. 1106. α 21 - 24. — 8) Ἠθικ. νικ. Β. 2. 1104. б 19 - 25. — 9) Ἠθικ. νικ. Γ. 7. 1113. б 1 - 14.

πρὸς κατανίκησιν τῶν ἐναντίων αὐταῖς κακιῶν, ἀλλ' οὐδὲν πλέον, πρὸς μαρτυρίαν δὲ καὶ ἐπιβεβαίωσιν τῆς ἀληθείας ταύτης κεῖται ἐν τῇ καθόλου ἱστορίᾳ πλεῖστα γεγονότα.

Τούτων δ' οὕτως ἐχόντων, οὐχ ἕπεται, ὅτι, εἰ οἱ ἄνθρωποι ἀνετρέφοντο ἐπιμελῶς καὶ ἐπαιδαγωγοῦντο ἀκριβῶς κατὰ τοὺς κειμένους νόμους, ἀνεπτύσσετο ἐν αὐτοῖς καὶ ἐτελειοῦτο πᾶσα ἠθικὴ καὶ διανοητικὴ ἀρετή, ἐρρυθμίζετο καὶ διὰ κανόνος ἤγετο πᾶν πάθος, καὶ οὕτως ἐγίγνοντ' ἂν πάντες ἀγαθοὶ καὶ οὐ κακοί, ἐπιεικεῖς καὶ οὐ φαῦλοι[1], ἐπεὶ καὶ τούτου οὕτως ἔχοντος, ἐνδέχεταί, φησιν ὁ Ἀριστοτέλης, εἶναί τινας, οὓς παιδευθῆναι καὶ γενέσθαι σπουδαίους ἄνδρας ἀδύνατον[2].

Ἐκ τῶν μέχρι τοῦδε εἰρημένων ἐξάγεται, ὅτι πάντες οἱ ἄνθρωποι φύσει εἰσὶν ἴσοι. Εἰ μέντοι ὑπάρχουσι δοῦλοι καὶ ἐλεύθεροι, ὑπάρχουσι μόνον νόμῳ ἀλλ' οὐ φύσει[3]. Λέγων ἀλλαχοῦ ὁ ἐκ Σταγείρων φιλόσοφος, ὅτι εἰσὶ φύσει τινές, οἱ μὲν ἐλεύθεροι, οἱ δὲ δοῦλοι[4], ἐννοεῖ τὰ ἀνθρώπου μορφὴν ἔχοντα ἐκεῖνα ὄντα, τὰ μόνον ἱκανὰ δίκην ὑποζυγίων ἑτέροις δουλεύειν, καὶ ἃ κοινωνεῖ λόγου τοσοῦτον μόνον, ὅσον αἰσθάνεσθαι, ἀλλὰ μὴ ἔχειν· οἱ τοιοῦτοι δὴ ἥκιστα διαφέρουσι τῶν ἄλλων ζῴων, ἃ οὐκ αἰσθάνεται λόγου ἀλλ' ὑπηρετεῖ τοῖς παθήμασι· δικαίως ἄρα τοὺς τοιούτους, οἳ διεστᾶσιν ὅσον ψυχὴ σώματος καὶ ἄνθρωπος θηρίου καλεῖ φύσει δούλους[5].

§ 3.

Περὶ τῶν ἠθικῶν καὶ διανοητικῶν ἀρετῶν καὶ κακιῶν τῶν ἀνθρώπων.

Μετὰ τὴν σύντομον ἔκθεσιν τῆς ἀριστοτελείου δόξης περὶ ἀνθρώπου, ἐπάναγκες ἔτι ἡγοῦμαι ὀλίγ' ἄττα προσθεῖναι εἰδικώτερον

---

1) Ἠθικ. νικ. Γ. 7. 1113. β 1 - 14. — 2) Πολ. Ε. 12. 1316. α 10 - 11. Β. 9. 1271. α 22. — 3) Πολ. Α. 3. 1253. β 21. — 4) Πολ. Α. 5. 1255. α 1. — 5) Πολ. Α. 5. 1254. β 16 - 24.

περὶ τῶν ἠθικῶν καὶ διανοητικῶν ἀρετῶν καὶ κακιῶν τῶν ἀνθρώπων κατὰ τὴν ἀριστοτέλειον αὖ δόξαν.

Ὁ Ἀριστοτέλης οὖν διαιρεῖ τὰς ἰδιότητας τοῦ ἀνθρώπου εἰς ἠθικὰς ἤτοι εἰς ἀναφερομένας εἰς τὸ ἔθος καὶ τὸν χαρακτῆρα, οἷον ἡ ἐλευθεριότης, ἡ σωφροσύνη καὶ αἱ ἐναντίαι ταύταις· καὶ εἰς διανοητικὰς ἤτοι εἰς ἀναφερομένας εἰς τὸν νοῦν, οἷον ἡ σοφία, ἡ σύνεσις, ἡ φρόνησις καὶ αἱ ἐναντίαι ταύταις.

Ὁ Ἀριστοτέλης δοξάζει, ὅτι αἱ διανοητικαὶ ἀρεταὶ ἔχουσι τὴν γένεσιν καὶ τὴν αὔξησιν τὸ πλεῖον ἐκ διδασκαλίας· διὸ χρῄζουσιν ἐμπειρίας καὶ χρόνου· αἱ δὲ ἠθικαὶ περιγίγνονται ἐξ ἔθους· καὶ ὅτι οὐδεμία τούτων ἐγγίγνεται φύσει.

Ἐν τῇ ἀναπτύξει οὖν τῶν ἠθικῶν καὶ διανοητικῶν σπερμάτων τῶν ἐν τῇ ἀνθρωπίνῃ φύσει δυνάμει ὑπαρχόντων, ἣν δοθῇ διεύθυνσις πρὸς τ' ἀγαθὸν, γεννῶνται καὶ τελειοῦνται αἱ ἠθικαὶ καὶ διανοητικαὶ ἀρεταί· ἣν δὲ τοὐναντίον, πρὸς τὸ κακόν, γεννῶνται καὶ τελειοῦνται αἱ ἠθικαὶ καὶ διανοητικαὶ κακίαι. Αἱ ἠθικαὶ καὶ διανοητικαὶ ἀρεταὶ βοηθοῦσιν ἀλλήλαις, ὡς καὶ αἱ ἐναντίαι ταύταις κακίαι. Οὕτω δ' εἰ ὁ νοῦς καὶ ἡ καρδία ἐν τῇ συνεργασίᾳ αὐτῶν ἐν ταῖς διὰ τῆς ἡδονῆς καὶ τῆς λύπης ἀγομέναις καὶ ῥυθμιζομέναις πράξεσιν, εὐστοχεῖ, ἤτοι εὑρίσκει τὸ ἀναγκαῖον καὶ δίκαιον μέτρον, ἀποδοκιμαζομένης πάσης ὑπερβολῆς ἐν αὐταῖς καὶ ἐλλείψεως, ἀναπτύσσονται καὶ τελειοῦνται αἱ ἠθικαὶ καὶ διανοητικαὶ ἀρεταί, εἰ δὲ τοὐναντίον ἀστοχεῖ, ἤτοι οὐχ εὑρίσκει τὸ ἀναγκαῖον καὶ τὸ δίκαιον τοῦτο μέτρον, γεννῶνται καὶ τελειοῦνται αἱ ἐναντίαι ταύταις κακίαι.

Ἀλλ' αἱ ἠθικαὶ καὶ διανοητικαὶ ἀρεταί εἰσι πρὸς ἀλλήλας οὕτω συνδεδεμέναι, ὥστε τὸν ἀπ' ἀλλήλων χωρισμὸν αὐτῶν ἀδύνατον ἀποβαίνειν· ἤτοι ἡ θέσις τῶν μὲν ἀπαιτεῖ καὶ τὴν θέσιν τῶν δέ· καὶ τἀνάπαλιν, ἡ ἄρσις τῶν μὲν ἀπαιτεῖ ἀναγκαίως καὶ τὴν ἄρσιν τῶν δέ. Ὥστε αἱ ἠθικαὶ καὶ διανοητικαὶ ἀρεταὶ καὶ κακίαι εἰσὶ γνήσιαι θυγατέρες τῶν αὐτῶν γονέων· ἀλλ' αἱ μὲν πρῶται, ὑγιῶν αὐτῶν ὄντων καὶ βέλτιστα ἐχόντων, αἱ δὲ δεύτεραι διεφθαρμένων αὐτῶν ὄντων καὶ κακῶς ἐχόντων.

Περὶ τοῦ ἀντικειμένου δὲ τούτου πραγματεύεται ὁ Ἀριστοτέλης ἐν ἐκτάσει ἐν τοῖς Ἠθικοῖς Νικομαχείοις πλὴν τοῦ ἑβδόμου καὶ δεκάτου βιβλίου, ἔνθα πραγματεύεται ἰδίως περὶ τῆς ἡδονῆς, καὶ ἐν τῇ Ψυχολογίᾳ.

ΤΜΗΜΑ Ι.

ΔΙΑΦΟΡΑΙ ΕΝ ΓΕΝΕΙ ΤΩΝ ΑΝΘΡΩΠΩΝ

Α΄.

ΔΙΑΙΡΕΣΙΣ ΤΩΝ ΑΝΘΡΩΠΩΝ ΚΑΤΑ ΤΑΣ ΑΡΙΣΤΟΤΕΛΕΙΟΥΣ ΑΡΧΑΣ

§ 4.

Τὴν διαίρεσιν ταύτην εὕροι τις ἂν ἐν τῇ ἀριστοτελείῳ πολιτείᾳ· ἐν αὐτῇ γὰρ μόνῃ γένοιτ' ἂν ὁ ἄνθρωπος ἀγαθὸς ἢ κακός, ἐπιεικὴς ἢ φαῦλος. Ἐκτὸς τῆς πολιτείας οὐ γίγνεται λόγος περὶ ἠθικῶν καὶ διανοητικῶν ἀρετῶν καὶ κακιῶν τῶν ἀνθρώπων[1]. Ὁ ἐκτὸς αὐτῆς ἐστιν ἢ θηρίον ἢ θεός[2], περὶ ὧν οὐδεὶς λόγος γένοιτ' ἄν, τὸ μὲν γὰρ θηρίον, οἷα ἄλογον ὄν, οὐ φέρει οὐδεμίαν εὐθύνην τῶν ἑαυτοῦ πράξεων, ὁ δὲ θεὸς φέρων ἐν ἑαυτῷ πᾶσαν ἠθικὴν καὶ διανοητικὴν τελειότητα φύσει, κεῖται ὑπεράνω παντὸς πεπερασμένου ἐλέγχου. Ἐν μόνῃ δ' ἄρα τῇ πολιτείᾳ ἐκ τῶν μυρίως ποικίλων σχέσεων τῶν ἐν αὐτῇ βιούντων λογικῶν ὄντων καὶ μυριοτρόπως πρὸς ἄλληλα συγχρωμένων ἀναπτύσσονται αἱ δυνάμει τῇ φύσει αὐτῶν ἐνυπάρχουσαι ἠθικαὶ καὶ διανοητικαὶ ἀρεταὶ καὶ κακίαι, ὧν ἕνεκα ἕκαστος τῶν ἀνθρώπων λέγεται ἀγαθὸς ἢ φαῦλος[3].

Ἐκ τῆς διαφόρου δὲ ταύτης ἐν τῷ ἀνθρώπῳ ἀναπτύξεως τῶν ἠθικῶν καὶ διανοητικῶν ἰδιοτήτων πηγάζει φυσικῶς ἡ εἰς δύο μεγάλας μὲν ἀλλ' ἀνίσους μερίδας διαίρεσις[4], ὅ ἐστιν εἰς τὴν τῶν

1) Πρβλ. Πολ. Α. 2. 1253. α 1-10. — 2) Πολ. Α. 2. 1253. α 25. — 3) Πρβλ. πολ. Ζ. 1. 1323. β 26-30. Ἠθ. νικ. Β. 1. 1103. — 4) Πολ. Ε. 1. 1301. β 36. 1302. α 2.

ἠθικῶς ὑγιῶς καὶ βέλτιστα ἐχόντων καὶ εἰς τὴν τῶν ἠθικῶς νοσερῶς καὶ κάκιστα ἐχόντων ἤτοι εἰς ἀγαθοὺς καὶ ἐπιεικεῖς καὶ εἰς κακοὺς καὶ φαύλους, οὓς διαχωρίζει ἐς ἀεὶ μεγίστη διάστασις, ἡ ἀρετὴ καὶ μοχθηρία [1].

Ἀλλ' εἰ καὶ ἡ ἠθικὴ ἀρετή ἐστι μία [2], μεταξὺ μέντοι τῶν ἠθικῶς καὶ διανοητικῶς τελείων ἐνυπάρχουσι διαφοραί. Αἱ διαφοραὶ δ' αὗται ὡς ἦν ἑπόμενον οὐκ εἰσὶν ἐσωτερικαὶ ἀλλ' ἐξωτερικαί, οὐ κατὰ φύσιν ἀλλὰ κατὰ τύχην ἤτοι εὐγένεια καὶ πλοῦτος καὶ δυνάμεις καὶ τἀναντία τούτοις [3]. Ἐκ τῶν κατὰ τύχην καὶ δὴ ἐξωτερικῶν τούτων διαφορῶν καθίστανται οἱ μὲν τούτων γνώριμοι, οἱ δ' οὔ. Ἀλλὰ καὶ τῶν γνωρίμων εἰσὶν πάλιν διαφοραὶ οὐ μόνον κατὰ τὸν πλοῦτον καὶ τὰ μέρη τῆς οὐσίας, ἀλλὰ καὶ κατὰ γένος καὶ κατ' ἀρετήν [4].

Καὶ οἱ ἠθικῶς καὶ διανοητικῶς ἀτελεῖς διαιροῦνται αὖθις εἰς οὓς αἱ ἠθικαὶ καὶ διανοητικαὶ ἰδιότητες διατελοῦσιν οὕτως εἰπεῖν ἐν οὐδετέρᾳ καταστάσει οὔπω ἀναπτυχθεῖσαι εἰς κακίας, καὶ εἰς οὓς αἱ ἠθικαὶ καὶ διανοητικαὶ ἰδιότητες ἀνεπτύχθησαν ἤδη εἰς κακίας καὶ διατελοῦσιν ἐνεργείᾳ τοιαῦται.

Εἰ καὶ οἱ ὅροι ἀγαθός, ἄριστος, βέλτιστος, χαρίεις, ἐπιεικὴς εἰσὶ κατὰ τὴν εὐρυτέραν ἔννοιαν τῆς λέξεως συνώνυμοι [5], ὅμως πλὴν τῆς ῥηθείσης ἐξωτερικῆς καὶ κατὰ τύχην διαφορᾶς ὑφίσταται καὶ ἐσωτερική τις διαφορά· καθ' ὅσον οἱ μὲν πρῶτοι ἤτοι οἱ εὐγενεῖς καὶ οἱ ἄριστοι, ἐπικρατοῦντος ἐν αὐτοῖς τοῦ νοητικοῦ καὶ γνωστικοῦ, εἰσὶ μᾶλλον δεινοὶ καὶ συνετοί· οἱ δὲ δεύτεροι ἤτοι οἱ ἀγαθοί, ἐπικρατοῦντος ἐν αὐτοῖς τοῦ ἠθικοῦ καὶ προαιρετικοῦ, εἰσὶ μᾶλλον χρηστοὶ καὶ ἐπιεικεῖς. Ὥστε οἱ μὲν πρῶτοι πλὴν τῆς ἠθικῆς ἀρετῆς κέκτηνται καὶ ἕτερα προσόντα ἤτοι πλοῦτον, εὐγένειαν, παιδείαν καὶ τὰ παραπλήσια [6], οἱ δὲ δεύτεροι μόνην τὴν ἀρετήν, ἐκ

---

1) Πολ. Ε. 3. 1303. 6 14 - 15. — 2) Πρβλ. Ἠθικ. νικ. Β. 5. 1106. 6 29 - 36.—3) Ρητ. Β. 14. 1389. α 1.—4) Πολ. Δ. 3. 1289. 6 31 - 39.—5) Πρβλ. πολ. Ε. 1. 1302. α 1. Β. 6. 1266. α 21. Γ. 7. 1279. α 35. 11. 1281. α 40. Ἠθ. νικ. Ε. 14. 1137. 6 1. 6) Πρβλ. πολ. Δ. 4, 1291. 6 25.

δὲ τῶν μερῶν αὐτῆς ἰδίως τὴν δικαιοσύνην, τὴν σωφροσύνην, τὴν πρᾳότητα καὶ τὴν πρακτικὴν σοφίαν ἤτοι τὴν φρόνησιν[1].

Ἐκ τῶν εἰρημένων γίγνεται δῆλον, ὅτι οἱ εὐγενεῖς καὶ οἱ ἄριστοι, ὑπάγονται ὡς εἴδη ὑπὸ τοὺς γνωρίμους, λαμβανομένους ὡς γένος, καθ' ὅσον πάντες οἱ εὐγενεῖς καὶ πάντες οἱ ἄριστοί εἰσι γνώριμοι. Ἐπειδὴ δὲ πάντες οἱ εὐγενεῖς εἰσιν ἢ ὀφείλουσιν εἶναι ἄριστοι, πάντες δ' οἱ ἄριστοι οὐκ εἰσὶ κατ' ἀνάγκην κυριολεκτικῶς εὐγενεῖς, ὡς παρακατιόντες ὀψόμεθα, ἕπεται, ὅτι οἱ ἄριστοι ὑπάγονται ὡς εἶδος ὑπὸ τοὺς εὐγενεῖς λαμβανομένους ὡς γένος.

Κατὰ ταῦτα σχηματίζονται δύο περιεκτικώταται ΔΥΑΔΕΣ, ὧν ἡ μὲν πρώτη περιλαμβάνει τοὺς κυρίως εὐγενεῖς καὶ τοὺς κατὰ τὴν εὐρυτέραν τῆς λέξεως ἔννοιαν τοιούτους ἤτοι τοὺς ἀρίστους, τοὺς βελτίστους, τοὺς χαρίεντας καὶ τοὺς τούτοις ὁμοίους, καὶ τοὺς ἀγαθούς, τοὺς ἐπιεικεῖς, τοὺς καλοὺς καγαθοὺς καὶ τοὺς τούτοις ὁμοίους, ἡ δὲ δευτέρα τοὺς πολλοὺς καὶ φαύλους καὶ μοχθηρούς.

ΑΙ ΔΥΟ ΔΥΑΔΕΣ

Πρώτη δυάς. Πρῶτον μέρος.

α'. Οἱ κυρίως εὐγενεῖς.
β'. Οἱ καταχρηστικώτερον τοιοῦτοι ἤτοι οἱ ἄριστοι καὶ οἱ ὅμοιοι

Πρώτη δυάς. Δεύτερον μέρος.

Οἱ ἀγαθοί, οἱ ἐπιεικεῖς καὶ οἱ ὅμοιοι.

Δευτέρα δυάς. Πρῶτον μέρος.

Οἱ πολλοί.

Δευτέρα δυάς. Δεύτερον μέρος.

Οἱ φαῦλοι, οἱ μοχθηροὶ καὶ οἱ ὅμοιοι.

1) Πρβλ. Ρητ. Α. 9. 1366. α 37.

Ἐν τοῖς ἑπομένοις γενήσεται ἀκριβὴς ἀνάπτυξις περὶ τῶν ἠθικῶν καὶ διανοητικῶν ἰδιοτήτων ἑνὸς ἑκάστου μέρους τῶν δύο δυάδων. Ἐπειδὴ δὲ ἐν ταῖς δυσὶ ταύταις δυάσι γίγνεται λόγος περὶ τῶν ἠθικῶν καὶ τῶν διανοητικῶν ἰδιοτήτων τῶν ἀνθρώπων μόνον γενικῶς καὶ δὴ ἀσχέτως πρός τε τὴν ἡλικίαν καὶ τὸ γένος, ἕπεται καὶ δεύτερον τμῆμα διαιρούμενον εἰς δύο μέρη, ὧν ἐν μὲν τῷ πρώτῳ γίγνεται λόγος περὶ τῶν ἠθικῶν καὶ διανοητικῶν ἰδιοτήτων τῶν τριῶν τῆς ἀνθρωπίνης ἡλικίας βαθμίδων ἤτοι τῆς νεανικῆς, τῆς πρεσβυτικῆς καὶ τῆς ἀνδρικῆς, ἐν δὲ τῷ δευτέρῳ γίγνεται λόγος περὶ τῶν ἠθικῶν καὶ τῶν διανοητικῶν ἰδιοτήτων τοῦ ἀνδρὸς καὶ τῆς γυναικός. Οὕτω δὲ κατορθοῦται πλήρης ὁ χαρακτηρισμὸς τῶν ἀνθρώπων.

Β΄.

ΗΘΙΚΑΙ ΚΑΙ ΔΙΑΝΟΗΤΙΚΑΙ ΙΔΙΟΤΗΤΕΣ ΤΩΝ ΔΥΟ ΔΥΑΔΩΝ

Ἠθικαὶ καὶ διανοητικαὶ ἰδιότητες τῆς πρώτης δυάδος.

ΠΡΩΤΟΝ ΜΕΡΟΣ

§ 5.

Α΄. Οἱ κυρίως εὐγενεῖς.

Ἀποβλέπων τις εἰς τὴν δημιουργίαν τοῦ σύμπαντος εἴτε κατὰ τὰς δόξας τῶν ἀρχαίων φιλοσοφικῶν σχολῶν εἴτε κατὰ τὰς τῶν νεωτέρων ἐξάγει, ὅτι οἱ ἄνθρωποί εἰσι φύσει ἴσοι. Οὐδὲν ἴδιόν τις ἔχει ὑποστατικῶς· τείνων δέ τις τὸ βλέμμα αὐτοῦ μέχρι τῆς ἀρχῆς καὶ ἐκεῖθεν ἔτι τῶν ἱστορικῶν χρόνων βλέπει, ὅτι πᾶσα ἡ φύσις βοᾷ, ὅτι ἑνὸς γένους ὑπάρχοντος, οὐδεμία διαφορὰ μεταξὺ τῶν θνητῶν ὑφίσταται· πάντες ἄρα φύσει εἰσὶν ἴσοι. Ὅτι δὲ τοὺς μὲν κατατρύχει μοῖρα δυσημερίας, τοὺς δὲ περιβάλλει ὄλβος, καὶ ἑτέ-

ρους περισφίγγει κλοιὸς δουλείας καὶ ἄλλους βαρύνει ζυγὸς ἀνάγκης τοῦτό ἐστιν ὅλως ἕτερον ζήτημα, ἀποβλέπον μόνον τὴν ἐξωτερικὴν κατάστασιν τῶν ἀνθρώπων καὶ οὐχὶ τὴν οὐσιαστικὴν αὐτῶν διαφοράν· πᾶσα ἄρα παρατηρουμένη μεταξὺ τῶν ἀνθρώπων διαφορά ἐστιν ἢ ἠθικὴ ἢ κοινωνική· καὶ ἐκείνη μέν ἐστιν ἐσωτερικὴ καὶ προϊὸν τῆς βουλήσεως καὶ τῆς ἐκ ταύτης ἀμέσως ἀπορρεούσης προαιρέσεως, αὕτη δὲ ἐξωτερικὴ καὶ προϊὸν συνήθως τῆς τύχης καὶ τῶν περιστάσεων· ἀλλ' ὅπως ποτ' ἂν ᾖ, τὰ ἐσωτερικὰ καὶ ἐξωτερικὰ προσόντα ἐστὶν ἀναντιρρήτως οὐχὶ ὅλως ἄσχετα πρὸς ἄλληλα· ἐντεῦθεν πηγάζει ἡ φυσικὴ δυσχέρεια τοῦ γενέσθαι λόγον περὶ διαφορᾶς τῶν ἀνθρώπων καὶ μάλιστα περὶ τῆς προκειμένης τάξεως αὐτῶν[1].

Τίνες οἱ εὐγενεῖς ἐρωτῶσιν οἱ πρὸ καὶ μετ' Ἀριστοτέλη, εἰ μηδεμία φυσικὴ διαφορὰ μεταξὺ τῶν ἀνθρώπων ὑφίσταται εἰ καὶ ὑπάρχει μόνη ἡ ἠθικὴ καὶ ἡ κοινωνικὴ διαφορά, τότε ἀναμφιβόλως οὐδένες ἄλλοι ἀπαρτίζουσι τὴν περὶ ἧς ὁ λόγος τάξιν ἢ οἱ καλοὶ κἀγαθοί, οἱ ἀγαθοὶ καὶ ἐπιεικεῖς, αὐτοὶ μόνοι ὡς ἐσθλοὶ καὶ δίκαιοί εἰσι καὶ εὐγενεῖς· αὐτοὶ γὰρ οἰκοῦσι τάς τε κοινωνίας, τάς τε πόλεις καὶ αὐτὰ τὰ δώματα εὖ, οἱ δὲ φαῦλοι καὶ μοχθηροὶ ὡς ἄδικοί εἰσι πόρρω παρασάγγας τοῦ εἶναι τοιοῦτοι, κἂν ὑποτεθῇ, ὅτι ἕλκουσι τὸ ἑαυτῶν γένος καὶ ἐξ αὐτῶν τῶν οὐρανιώνων· αἱ γὰρ πράξεις αὐτῶν καταβοῶσι κατ' αὐτῶν ἐπικυροῦσαι τὸ εὐτελὲς καὶ νόθον αὐτῶν[2]· ἄλλως γὰρ τίς δύναται διϊσχυρίσασθαι, ὅτι ἡ λέξις *εὐγενὴς* ἐστι κενὴ σημασίας, ψιλὸν ὄνομα, καὶ ἑπομένως τὸ καλῶς ἢ κακῶς πράσσειν οὐκ ἔχει οὐδεμίαν ἐσωτερικὴν καὶ οὐσιαστικὴν σχέσιν πρὸς τὴν εὐγένειαν; οὐδείς, οἶμαι, πειθαρχῶν τῷ δεσπότῃ λόγῳ ἀρνήσατ' ἄν, ὅτι ἡ ὁμιλία καὶ τὸ ἦθος τῶν βροτῶν ἐστιν οὐσιαστικῶς συνδεδεμένα πρὸς τὴν εὐγένειαν. Ἀλλ' ἆρά γέ εἰσιν οἱ ἀγαθοὶ καὶ ἐπιεικεῖς οἱ εὐγενεῖς; πολλοῦ γε καὶ δεῖ. Κατ' Ἀριστοτέλη οὔτ οἱ καλοὶ κἀγαθοί εἰσιν οἱ εὐγενεῖς, ὑπὲρ ἧς γνώμης προεξάρχει καὶ ὑπερμαχεῖ εἷς τῶν μεγίστων δραματικῶν

1) Πρβλ. fragm. 82. 1490. — 2) Ρητ. Β. 15. 1390. 6. 23 - 24.

ποιητῶν τῆς ἀρχαιότητος, ὁ Εὐριπίδης· ἀλλ' οὐδὲ οἱ ἐξ ἀγαθῶν προγόνων, ὑπὲρ ἧς γνώμης ἐστὶν ὁ μέγας Σωκράτης· ἀλλ' οὐδὲ ἡ δόξα τοῦ Σιμωνίδου ἀρέσκει τῷ δεινῷ 'Αριστοτέλει, καθ' ἣν οἱ εὐγενεῖς εἰσιν οἱ ἔκπαλαι πλουσίων [1].

'Ο 'Αριστοτέλης ἀποκρούων τοίνυν πάσας ταύτας τὰς δόξας ὡς ἀπομεμακρυσμένας τῆς γραμματικῆς καὶ δὴ τῆς κυρίας σημασίας τῆς λέξεως *εὐγενής*, *εὐγένεια*, ὁρίζει ὡς ἑξῆς τοὺς εὐγενεῖς· «εὐγενεῖς εἶναι δοκοῦσιν, οἷς ὑπάρχει προγόνων ἀρετὴ καὶ πλοῦτος»[2]· καὶ ἀλλαχοῦ λέγει «ἡ γὰρ εὐγένεια ἀρχαῖος πλοῦτος καὶ ἀρετή»[3]· καὶ ἐν τῇ 'Ρητορικῇ Α 5. 1360. β 31—38 λέγει διὰ μακρῶν «εὐγένεια μὲν οὖν ἐστιν ἔθνει μὲν καὶ πόλει τὸ αὐτόχθονας ἢ ἀρχαίους εἶναι καὶ ἡγεμόνας τοὺς πρώτους ἐπιφανεῖς καὶ πολλοὺς ἐπιφανεῖς γεγονέναι ἐξ αὐτῶν ἐπὶ τοῖς ζηλουμένοις. 'Ιδίᾳ δὲ εὐγένεια ἢ ἀπ' ἀνδρῶν ἢ ἀπὸ γυναικῶν καὶ γνησιότης ἀπ' ἀμφοῖν καὶ ὥσπερ ἐπὶ πόλεως τούς τε πρώτους γνωρίμους ἢ ἐπ' ἀρετῇ ἢ πλούτῳ ἢ ἄλλῳ τῳ τῶν τιμωμένων καὶ πολλοὺς ἐπιφανεῖς γεγονέναι ἐκ τοῦ γένους καὶ ἄνδρας καὶ γυναῖκας καὶ νέους καὶ πρεσβυτέρους».

'Εκ τῶν χωρίων οὖν τούτων καταφαίνεται ἐναργῶς ἡ δόξα τοῦ μεγάλου 'Αριστοτέλους· ἐνταῦθα διακρίνει εὐγένειαν ἔθνους ἢ πόλεως καὶ εὐγένειαν γένους ἤτοι οἰκογενείας· ὅ,τι ἀπαιτεῖται εἰς ἔθνος τι, ἵνα ᾖ καὶ θεωρῆται εὐγενὲς τοῦτ' αὐτὸ παραπλησίως συμβαίνει καὶ εἰς ἴδιόν τι γένος ἤτοι οἰκογένειαν.

῎Εθνος τι οὖν ἐστιν εὐγενὲς οὐχ εἰ κυριαρχεῖ καὶ τῶν πέντε ἠπείρων, οὐδ' εἰ κέκτηται ἄπειρα τὰ πλούτη καὶ ἐντεῦθεν ἀκαταμαχήτους τὰς ἐνόπλους αὐτοῦ δυνάμεις καὶ δή ἐστι παντοδύναμον, οὔ, λέγω· πρῶτος ὅρος ἀναγκαιότατος, οὗ οὐκ ἄνευ ἐστὶ τὸ εἶναι τὸ ἔθνος ἐκεῖνο αὐτόχθον ἢ ἀρχαῖον, ἤτοι γνήσιον καὶ οὐ κρᾶμα διαφόρων ἐθνικῶν σπερμάτων, ἐν ᾧ οὐδὲ τὸ πολλοστημόριον αὐτῶν, οὐδ' ὁ πυρὴν αὐτὸς ἔχεται ἀναμφισβητήτου γνησιότητος. Δευτε-

---

1) Πρβλ. fragm. 82. 83. 85. ἐν τόμ. V. σελ. 1490. — 2) Πολ. Ε. 1. 1301. β 3 - 4. — 3) Πολ. Δ. 8. 1294. α 21.

ρος δ' ὅρος ὡσαύτως ἀναγκαιότατος καὶ οὗ οὐκ ἄνευ, ἐστὶ τὸ εἶναι τοὺς πρώτους αὐτοῦ ἡγεμόνας ἐπιφανεῖς, ἐξόχους, ἀποθνήσκειν ὑπὲρ τῆς δόξης καὶ τοῦ μεγαλείου τῆς ἑαυτῶν πατρίδος καὶ ὑπὲρ τῆς σωτηρίας τῶν λαῶν αὐτῶν κοδρείως, προκειμένης δὲ τῆς ὑπερασπίσεως τῆς ἑαυτῶν πατρίδος γινώσκειν τῶν ἑαυτῶν στρατευμάτων προκινδυνεύειν· τρίτος δὲ καὶ τελευταῖος ὅρος οὐχ ἧττον σπουδαῖός ἐστι τὸ γεγονέναι τοὺς ἀπογόνους τῶν πρώτων ἡγεμόνων ὁμοίως ἐπιφανεῖς, εἰ μὴ πάντες τοὐλάχιστον οἱ πλείους. Κέκτηται τοίνυν ἔθνος τι ἢ πόλις τις τοὺς τρεῖς τούτους ὅρους, κέκτηται τρεῖς τίτλους μαρτυροῦντας λαμπρῶς τὴν ἀληθῆ αὐτοῦ εὐγένειαν, τίτλους, οὓς οὐδεὶς ἂν ἀμφισβητήσειε νοῦν ἔχων. Ὡς οὖν ἔθνος τι ἔχει τοὺς εἰρημένους ἀπαραιτήτους ὅρους, ὧν δυνάμει κέκτηται τοὺς τίτλους τῆς εὐγενείας, οὕτω καὶ γένος τι ἔχει ἀπαραιτήτους τινὰς ὅρους, ὧν δυνάμει κέκτηται τοὺς τίτλους τῆς ἑαυτοῦ εὐγενείας. Πρῶτος τοίνον ὅρος τῆς εὐγενείας ἐστὶν ἡ γνησιότης τοῦ γένους· ὁ πρῶτος οὗτος ὅρος ἐστὶν ἀναγκαιότατος· οὐχ οἷόν τε γὰρ εἶναι εὐγενῆ, οὗτινος οἱ γονεῖς ἦσαν ἢ βάρβαροι ἢ μὴ νόμιμοι, οἱωνδήποτε ἠθικῶν καὶ διανοητικῶν ἀρετῶν κἂν ᾖ κάτοχος· ἄρα ὁ πρῶτος οὗτος ὅρος ἐστὶν ἐκ τῶν ὧν οὐκ ἄνευ. Δεύτερος δ' ὅρος ὡσαύτως ἀπαραίτητός ἐστιν, ὅτι τοὺς πρώτους τοῦ γένους τούτου δεῖ γεγονέναι γνωρίμους· ἢ ἐπ' ἀρετῇ ἢ πλούτῳ ἢ ἄλλῳ τινὶ τῶν ὑπὸ τῶν ἀνθρώπων τιμωμένων. Καὶ ὁ ὅρος οὗτος συνδεῖται τόσον στενῶς μετὰ τοῦ πρώτου, ὥστε ἀδύνατον ἀρθῆναι τὸν ἕνα χωρὶς ἀρθῆναι καὶ τὸν ἕτερον· οὔτε γὰρ ὁ κεκτημένος γνησιότητα γένους δύναται εἶναι εὐγενὴς καὶ θεωρεῖσθαι τοιοῦτος, εἰ μὴ οἱ πρῶτοι οἱ ἐκ τοῦ γένους τούτου ἐγεγόνεισαν γνώριμοι διὰ προσόντα ἐπισύροντα τὴν ὑπόληψιν καὶ τὸν σεβασμὸν τῶν ἀνθρώπων, ἀλλ' οὐδ' ἐκεῖνος, οὗτινος οἱ πρῶτοι πρόγονοι γεγόνασι μὲν γνώριμοι διά τε τὴν ἀρετὴν αὐτῶν καὶ τὸν πλοῦτον καὶ διὰ πᾶν ἄλλο ἀξιόζηλον ἀγαθόν, ἀλλὰ τὸ γένος οὐχ ὑπῆρξε γνήσιον· τρίτος δὲ καὶ τελευταῖος ὅρος τῆς εὐγενείας τοῦ γένους ἐστίν, ὅτι πολλοί, εἰ μὴ πάντες, ἐκ τοῦ γένους ἐγεγόνεισαν ἐπιφανεῖς, εἴτε ἄνδρες ἦσαν οἱ τοιοῦτοι, εἴτε γυναῖκες, εἴτε νέοι, εἴτε πρεσβύτεροι.

Ἐκ τῶν τριῶν τούτων ὅρων ἐὰν λείπῃ ὁ εἷς εἰς οὐδὲν συντελοῦσιν οἱ ἀπολειπόμενοι δύο. Οἱ ἔχοντες γὰρ καλοὺς κἀγαθοὺς προγόνους οὔκ εἰσιν εὐγενεῖς, ἐν ὅσῳ οὐ βεβαιοῦται, ὅτι ἐσχήκασι καὶ καὶ τοὺς τρεῖς ῥηθέντας ὅρους· ὁ ὅρος «ἀγαθὸς» οὐ περιέχει κατ' ἀνάγκην καὶ τὴν ἔννοιαν τοῦ ὅρου «εὐγενής», ἐν ᾧ ὁ ὅρος «εὐγενὴς» περιλαμβάνει κατ' ἀπόλυτον ἀνάγκην καὶ τὴν ἔννοιαν τοῦ ὅρου «ἀγαθός». Οὐδεὶς γὰρ εὐγενὴς νοηθείη ἂν ἄνευ τοῦ ὅρου «τῆς ἀρετῆς»· ὥστε ἡ ἠθικὴ ἀρετή ἐστιν ἀπολύτως ἀναγκαῖον προσὸν τοῖς εὐγενέσιν· ὁ γυμνὸς ἀρετῆς καίτοι ἐξ εὐγενῶν καταταχτέος ἐν τῇ δευτέρᾳ δυάδι, ἔνθα ἡ μοῖρα τῶν πολλῶν καὶ τῶν φαύλων, ὧν τοὺς τρόπους καὶ τὰς ὁμιλίας καὶ τὰ ἤθη ἐζήλωκε· δύναταί τις τυπικῶς φέρειν τίτλους εὐγενείας, ἀλλὰ κατ' οὐσίαν πολλοῦ γε καὶ δεῖ· τῷ ἀπολέσαντι τὰ προσόντα, ἐξ ὧν ἀπέρρει τὸ δίκαιον τῶν τίτλων, ἐστὶ παντὶ φανερόν, ὅτι ἐπαύσατο πλέον καὶ τὸ δίκαιον τοῦτο. Ὡς ἄρα ἡ ἀρχὴ τοῦ εὐγενοῦς ἐκείνου γένους ἐδημιουργήθη, τηρηθέντων τῶν τριῶν ἐκείνων ὅρων, οὕτω καὶ τὸ τέλος αὐτοῦ ἄρχεται διὰ τῆς καταργήσεως ἢ παραβάσεως ἑνὸς ἢ πάντων τῶν εἰρημένων ὅρων[1]. Οὐδεὶς ἀρνεῖται, ὅτι τὸ ὅμοιον γεννᾷ τὸ ὅμοιον, ὅτι ὁ ἄνθρωπος γεννᾷ μόνον ἄνθρωπον καὶ τὸ θηρίον μόνον θηρίον. Τούτου δ' οὕτως ἔχοντος, ἔδει καὶ τοὺς καλοὺς κἀγαθοὺς γεννᾶν μόνον καλοὺς κἀγαθούς, τοὺς δὲ φαύλους καὶ μοχθηροὺς μόνον φαύλους καὶ μοχθηρούς. Τοῦτο συμβαίνει μὲν[2], ἀλλὰ μέντοι οὐκ ἀείποτε. Ἐν τῷ ζητήματι τούτῳ, ὅπερ ἐκ πρώτης ὄψεως φαίνεται ἁπλοῦν καὶ εὐεπίλυτον κεῖνται δυσχέρειαι οὐ σμικραί, καὶ ἐν τοῖς ὀργανικοῖς γὰρ οὖσιν, εἰ καὶ ἡ φύσις βούλεται μὲν καὶ ἀγωνίζεται τοῦτο ποιῆσαι οὐ μέντοι δύναται ἀεὶ[3], πολλῷ μᾶλλον ἐν ταῖς ἠθικαῖς καὶ ταῖς διανοητικαῖς ἀρεταῖς, ἐν αἷς ὀλίγον συμβάλλεται ἡ φύσις, ἐχούσης ἅπασαν τὴν κυριαρχίαν ἐπ' αὐτῶν τῆς βουλήσεως καὶ τῆς ἐκ ταύτης ἀμέσως ἀπορρεούσης προαιρέσεως. Οὐχ ἧττον δὲ καὶ τὸ γένος συντελεῖ οὐκ ὀλίγον πρὸς τὴν διατήρησιν

---

1) Ρητ. Β. 15. 1390. 6 23. — 2) Ρητ. Α. 9. 1367. 6 30. — 3) Πολ. Α. 6. 1255. 6 1-4.

καὶ τὴν διάδοσιν τῆς ἀρετῆς ὡς ἔφθην εἰπών[1]. Ἀλλὰ κατά γε τὴν ἐμὴν γνώμην τοῦτο προέρχεται μᾶλλον ἐκ τῆς ἐπιμεμελημένης ἀγωγῆς καὶ παιδεύσεως, περὶ ὧν οἱ τῆς πρώτης διάδος περὶ πλείστου ποιοῦνται, ἐν ᾧ οἱ τῆς δευτέρας ἢ πάντάπασιν ὀλιγωροῦσιν ἢ ἥκιστα φροντίζουσιν, ἢ ἐκ τῆς οὐσιαστικῆς ἐπιρροῆς τοῦ γένους.

Εἰ δὲ τέλος οἱ ἔκπαλαι ἀγαθῶν ὡς καὶ αὐτοὶ οἱ ἀγαθοὶ οὔκ εἰσιν οἱ εὐγενεῖς, οὔκ εἰσι πολλῷ μᾶλλον τοιοῦτοι οἱ ἔκπαλαι πλουσίαν καὶ αὐτοὶ οἱ πλούσιοι, ὡς καὶ οἱ ἔκπαλαι σπουδαίων καὶ αὐτοὶ οἱ σπουδαῖοι. Ποία γὰρ σχέσις ὑφίσταται μεταξὺ τῆς εὐγενείας καὶ τῶν προσόντων, οἷα ὁ πλοῦτος καὶ τὸ σπουδαῖον; πλούσιος γὰρ δύναται γενέσθαι καὶ ὁ τυχὼν καὶ ὁ μηδεμίαν ἠθικὴν καὶ διανοητικὴν ἀρετὴν ἔχων, ἐπεὶ ὁ πλοῦτός ἐστι προϊὸν πάνυ τυχαῖον καὶ γέννημα πάντη ἀπροόπτων περιστάσεων· πλοῦτον ἄρα κτήσαιτ᾽ ἂν καὶ ὁ βαρβαρότατος καὶ ἀνδραποδωδέστατος τήν τε ψυχὴν καὶ τὴν διάνοιαν· σπουδαῖος δ᾽ ὁμοίως γένοιτ᾽ ἂν καὶ ὁ ἔχων μίαν μόνην τῶν διανοητικῶν ἀρετῶν, κἂν ὑποτεθῇ κατὰ τὰ ἄλλα λίαν ἐλλιπής. Δύνανται οὖν οἱ τοιοῦτοι ἢ τῶν τοιούτων οἱ ἀπόγονοι, κἂν ἔχωσι πάσας τὰς ἠθικὰς καὶ τὰς διανοητικὰς ἀρετὰς θεωρηθῆναι εὐγενεῖς καὶ κληθῆναι τοιοῦτοι; πολλοῦ γε καὶ δεῖ. Οἱ τοιοῦτοί εἰσι καὶ καλοῦνται καλοὶ κἀγαθοί, ἐπιεικεῖς, ἄριστοι, βέλτιστοι, χαρίεντες καὶ εἴ τι ἕτερον, ἀλλ᾽ εὐγενεῖς κυριολεκτικῶς οὐδέποτε· πρὸς τοῦτο γὰρ ἀντίκειται καὶ αὐτὴ ἡ ἐτυμολογικὴ τῆς λέξεως σημασία. Γνωστὸν γάρ, ὅτι ἡ λέξις *εὐ-γενὴς* συντίθεται ἐκ τοῦ μορίου *εὐ* καὶ τοῦ οὐσιαστικοῦ *γένος*· πρὸς δὲ γνωστόν, ὅτι τὸ μόριον *εὖ* σημαίνει τι τῶν ἐπαινετῶν καὶ τῶν σπουδαίων· ὡς λόγου χάριν λέγων τις «εὐπρόσωπον, εὐόφθαλμον» ἐννοεῖ τὸν ἔχοντα καλόν, ὡραῖον, πρόσωπον, καλούς, ὡραίους ὀφθαλμούς. Ὥστε ἀδιαφιλονεικήτως τὸ *εὖ* ἐνταῦθα σημαίνει ἀγαθόν τι ἢ καλὸν καὶ ὡραῖον. Ὅθεν τὸ εὐπρόσωπόν ἐστι τὸ ἔχον ἀρετὴν προσώπου, καὶ εὐόφθαλμον τὸ ἔχον ἀρετὴν ὀφθαλμοῦ. Οὕτω δὲ ὡς ὑπάρχει πρόσωπα στερούμενα τῆς τοιαύτης ἀρετῆς, καὶ

---

1) Ρητ. Α. 9. 1367. 6 30.

ὀφθαλμοὶ ὡσαύτως, οὕτως ὑπάρχει καὶ γένη ἔχοντα τὴν τοιαύτην ἀρετὴν καὶ γένη, ἃ στερεῖται ταύτης, διὰ ταῦτα ἐπάγεται ὁ Ἀριστοτέλης, «ἡ εὐγένειά ἐστιν ἀρετὴ γένους[1]. Ἡ εὐγένεια τοίνυν ἐστὶν ἀρετὴ γένους, ἡ δ' ἀρετή ἐστί τι σπουδαῖον· οὔσης δὲ τῆς ἀρετῆς τοιαύτης, ἕπεται, ὅτι καὶ τὸ γένος ἐστὶ τοιοῦτον ἤτοι σπουδαῖον. Σπουδαῖον δὲ γένος ἐστὶ καὶ λέγεται ἐκεῖνο, ὅπερ κέκτηται τὰ προειρημένα προσόντα· ἐν τῷ τοιούτῳ καὶ μόνῳ γένει πεφύκασι πολλοὶ σπουδαῖοι καὶ ἄνδρες καὶ γυναῖκες καὶ νέοι καὶ πρεσβύτεροι ἐγγίγνεσθαι. Ἅπαξ γὰρ δημιουργηθὲν τὸ τοιοῦτον γένος κέκτηται συγχρόνως ἀρχὴν σπουδαίαν· ἡ δ' ἀρχὴ ἔχει τοιαύτην δύναμιν, ὥστε παρασκευάζειν πολλὰ τοιαῦτα, οἷα αὕτη[2]. Ἡ ἰδιότης δ' αὕτη ἔγκειται αὐτῇ τῇ ἀρχῇ· οὐδεὶς ἂν νοήσειεν ἀρχὴν ἄνευ τῆς ἰδιότητος καὶ τῆς δυνάμεως ταύτης· ἔργον τοίνυν τῆς ἀρχῆς ἐστι τοῦτο τὸ ποιῆσαι ἕτερα πολλά, οἷον αὐτή. Ἐπειδὰν τοίνυν ἐμφανισθῇ ἐν τῷ ῥεύματι τοῦ χρόνου γένος τι τοιοῦτον καὶ τοσοῦτον σπουδαῖον, ὥστε πολλὰς γενεὰς ἔχειν τὸ ἀπ' ἐκείνου ἀγαθόν, τὸ τοιοῦτον γένος ἐστὶ σπουδαῖον κατ' ἀνάγκην· ὥστε ἐντεῦθεν κατανοεῖται σαφέστερον, ὅτι οἱ ἀγαθοί, οἱ σπουδαῖοι, οἱ πλούσιοι καὶ οἱ τούτοις παραπλήσιοι ἤτοι οἱ ἄριστοι, οἱ βέλτιστοι, οἱ χαρίεντες, οἱ ἐπιεικεῖς καὶ οἱ ὅμοιοι, ἅτε μὴ ἔχοντες τὴν δύναμιν ἐν αὐτοῖς τίκτειν ὁμοίους ἑαυτοῖς πολλούς, οὐκ ἔχουσιν ἀρχὴν τοιαύτην, καὶ μὴ ἔχοντες τὴν τοιαύτην δύναμιν στεροῦνται τῆς ἀρχῆς τοῦ γένους, τοῦ σπουδαίου τοῦ γένους. Ὥστε οἴκοθεν ἤδη ἐννοεῖται τὸ ὀρθὸν τῆς ἀριστοτελείου δόξης· ὅθεν κατὰ τὴν δόξαν ταύτην *ἡ εὐγένεια* ἐστὶ προϊὸν τῆς ἀρχῆς τῆς ἐγκειμένης ἐν τῷ γένει, ἐξ οὗ οἱ εὐγενεῖς. Διὰ ταῦτα ὁ πατὴρ ὁ ἀνήκων τῷ τοιούτῳ γένει γεννᾷ ἀπογόνους εὐγενεῖς οὐχὶ διότι αὐτός ἐστιν εὐγενής, ἀλλὰ διότι ἀνήκει τῷ τοιούτῳ γένει, οὗτινος ἀρχηγὸς ἐγεγόνει εὐγενής. Ἄρα ὁ πατὴρ οὐκ ἂν ἐγέννα δι' ἑαυτὸν καὶ ἐξ ἑαυτοῦ ἀγαθόν, εἰμὴ ἦν τοιούτου γένους. Ἀλλ' ὡς εἴρηται ὑπάρχουσι καὶ ἄνθρωποι, ἀπόγονοι τοιαύτην τὴν ἀρχὴν ἐχόντων, οἳ ἐπιλανθανό-

---

1) Πολ. Γ. 13. 1283. α 35. Fragm. 83. 1490. — 2) Fragm. 85. 1490.

μενοι τῆς ὑψηλῆς αὐτῶν καταγωγῆς, οὐ διαφυλάττουσι τὴν ἀρετὴν τοῦ ἑαυτῶν γένους[1]. Τοιαύτην δέ τινα εὐτέλειαν τῶν εὐγενῶν δείκνυσιν ἡμῖν καθ' ἑκάστην ὁ ἐν τῇ πράξει βίος ἔτι καὶ νῦν μετὰ τρεῖς καὶ εἴκοσιν αἰῶνας μετὰ τὸν μέγαν Ἀριστοτέλη· ὁ ἄνθρωπος ἦν, ἐστὶν ἀπὸ τῶν ἱστορικῶν χρόνων μέχρι τῆς σήμερον καθ' ὅλα ὅμοιος πρὸς ἑαυτόν, καὶ ἔσται τοιοῦτος μέχρι συντελείας, ἣν οἱ περὶ τὸν πολὺν Darwin πλανῶνται.

Οἱ εὐγενεῖς συνεπείᾳ τῶν ἀρχῶν αὐτῶν κέκτηνται ἦθος φιλοτιμότερον ἢ αἱ ἄλλαι τάξεις τῶν ἀνθρώπων· καὶ εἰκότως· ὅπου γὰρ ὑπάρχει τι εἴτε χρήματά ἐστι τὸ τοιοῦτον, εἴτε κτήματα, εἴτε δόξα, εἴτε ἄλλο τι τῶν τοιούτων, πρὸς τοῦτο εἰώθασι πάντες ἄνευ ἐξαιρέσεως σωρεύειν· ἔτι δὲ κέκτηνται ἦθος καταφρονητικὸν πάντων μὲν κυρίως δὲ τῶν τοῖς προγόνοις τοῖς ἑαυτῶν ὁμοίων. Οἱ ἱστάμενοι γὰρ παραλλήλως τῇ γραμμῇ τῶν ἑαυτῶν προγόνων φανερόν, ὅτι σκιάζουσιν ἢ ἀμαυροῦσι τὴν τῶν προγόνων αὐτῶν δόξαν καὶ μειοῦσι τὸ μεγαλεῖον αὐτῶν. Διότι ὅσον ἀπομακρύνονται ἀπ' ἀλλήλων δύο κολοσσοί, τόσον δοκεῖ αὐξάνειν τὸ μέγεθος αὐτῶν· ὅσον ἀπομακρύνονται δύο τινὰ γένη κεκτημένα τοὺς τίτλους τῆς εὐγενείας, τόσον καθίστανται γνωριμώτερα καὶ ἡ οἰκογενειακὴ αὐτῶν ἱστορία γνωστοτέρα καὶ δὴ ἐνδοξοτέρα. Τούτου δ' ἕνεκα τὸ αἴσθημα τοῦτο ἐνεργεῖ ἐν αὐτοῖς λίαν ἰσχυρῶς πρὸς ἐπίτευξιν τοιούτων ἀποτελεσμάτων ἤτοι ἵνα καταστήσωσι τὴν ἐντιμότητα τῶν ἑαυτῶν προγόνων καταδηλοτέραν καὶ μᾶλλον εὐαλαζόνευτον. Ἔχοντες δὲ οἱ εὐγενεῖς τοιαῦτά τινα ἤθη καὶ μάλιστα τὸ φιλοτιμότερα εἶναι σπουδάζουσιν ἀναπτύξαι πάντα τὰ σπέρματα τοῦ ἑαυτοῦ γένους, ὅπερ στηρίζεται ἐπὶ τῆς ἀρετῆς, ἧς μέρη ἀναπόσπαστά ἐστι δικαιοσύνη, ἀνδρεία, σωφροσύνη, μεγαλοπρέπεια, μεγαλοψυχία, ἐλευθεριότης, πρᾳότης, φρόνησις, σοφία[2]. Καὶ ἰδοὺ καταντᾷ ὁ Ἀριστοτέλης εἰς τὴν αὐτὴν γνώμην, εἰς ἣν ἔσπευσαν καὶ προὔλαβον αὐτὸν οἱ περὶ τὸν Σωκράτην καὶ Εὐριπίδην καὶ Σιμωνίδην. Βεβαίως ἄνθρωποι κεκτημένοι τοιαῦτα προσόντα καὶ τοι-

1) Ρητ. Β. 15. 1390. 6 20. — 2) Ρητ. Α. 9. 1366. 6 1-3.

ούτους τίτλους ἦν ἂν ἀκατανόητον, εἰ ἠμέλουν τὴν ἀνάπτυξιν καὶ καλλιεργίαν τῶν μερῶν τῆς βάσεως καὶ τῆς ἀρχῆς τοῦ γένους αὐτῶν, ἐφ' ᾧ καὶ δι' ὃ καυχῶνται καὶ ἐναβρύνονται. Ὡς ἐστιν ἀδύνατον νοηθῆναι ψυχὴν λογικὴν ἄνευ τῶν γνωστικῶν δυνάμεων, οὕτως ἐστὶν ἀδύνατον νοηθῆναι εὐγένειαν, ἣ ἔχει ὡς ἀναγκαιότατον ὅρον τῆς ἑαυτῆς ὑπάρξεως τὴν ἀρετὴν δοκοῦσαν δύναμιν εἶναιποριστικὴν ἀγαθῶν καὶ φυλακτικὴν καὶ δύναμιν εὐεργετικὴν πολλῶν καὶ μεγάλων, καὶ πάντων περὶ πάντα [1], ἐστερημένην καὶ ἑνὸς μόνου τῶν ἄνω μνημονευθέντων μερῶν αὐτῆς. Ὥστε οἱ εὐγενεῖς συνελόντι εἰπεῖν κέκτηνται πάσας τὰς ἠθικὰς καὶ τὰς διανοητικὰς ἀρετάς. Ἐντεῦθεν δὲ λέγων τις *εὐγενεῖς* νοεῖ κατὰ τὴν εὐρυτέραν τῆς λέξεως ἔννοιαν ἀνθρώπους διακεκοσμημένους δι' ὅλων τῶν ἠθικῶν καὶ τῶν διανοητικῶν ἀρετῶν, ἀποσιωπωμένων τῶν περὶ τῆς γνησιότητος τοῦ γένους αὐτῶν, τῶν περὶ τῶν πρώτων προγόνων αὐτῶν καὶ τῶν τοιούτων, λαμβανομένης ὑπ' ὄψει μόνης τῆς ἀρετῆς καὶ τῶν μερῶν αὐτῆς, ὅπερ παρέσυρεν εἰς τὰς μνημονευθείσας δόξας καὶ τὰς μεγίστας διανοίας. Οὐδεὶς ἀμέλει ἀρνεῖται, ὅτι ἡ εὐγένειά ἐστι δῶρον τῆς τύχης, ἀλλ' ἐὰν ὁ ἀξιωθεὶς εὐνοηθῆναι ὑπὸ τῆς τύχης διὰ τοῦ ἀξιοζηλώτου τούτου δώρου τηρήσῃ τὰς βαρείας ὑποχρεώσεις, ἃς κατ' ἀνάγκην μεθ' ἑαυτοῦ τοῦτο συνεπάγεται, οὐκ ἀπεικὸς σεμνύνεσθαι ὥσπερ ἐπ' ἄλλῳ τινὶ τῶν καλῶν καὶ ἐπ' εὐγενείᾳ, τῇ εὐγενείᾳ μέντοιγε, «τῇ, κατὰ τὴν ἔκφρασιν τοῦ Πλουτάρχου, ἐνσταζούσῃ μένος τοῖς τέκνοις, ὡσανεὶ ταῖς σπερμάτων ὀλίγαις σταγόσι καὶ τῆς ἀρετῆς συρρεομένων ἀγαθῶν».

§ 6.

Β'. Οἱ κατὰ τὴν εὐρυτέραν τῆς λέξεως ἔννοιαν εὐγενεῖς ἤτοι οἱ ἄριστοι, οἱ βέλτιστοι, οἱ χαρίεντες κλπ.

Ἐκ τῶν μέχρι τοῦδε ῥηθέντων καταφαίνεται, ὅτι οἱ ἄριστοι διακρίνονται τῶν εὐγενῶν ἔκ τε τῶν τριῶν ἐκείνων κατηγορημα-

1) Ρητ. Α. 9. 1366. α 37.

τικῶν ὅρων καὶ τῆς ἀρχικῆς δυνάμεως τοῦ τίκτειν ἑτέρους ἑαυτοῖς ὁμοίους, ὧν στεροῦνται, καθ' ὅλα δὲ τἆλλα οἱ ἄριστοί εἰσιν ὅμοιοι πρὸς τοὺς εὐγενεῖς· διὰ ταῦτα ἐρρήθη, ὅτι πάντες οἱ εὐγενεῖς εἰσιν ἄριστοι ἢ ὀφείλουσιν εἶναι τοιοῦτοι, ἀλλ' οὐχὶ καὶ τἀνάπαλιν, διότι οὐ πάντες οἱ ἄριστοί εἰσιν εὐγενεῖς.

Ἰδιάζον δὲ χαρακτηριστικὸν τοῖς ἀρίστοις ἐστὶν ἡ ὑπὸ τοῦ νόμου κειμένη παιδεία [1] καὶ ἡ ἀρετὴ μετὰ τῶν μερῶν αὐτῆς [2]. Κεκτημένοι οὖν οἱ ἄριστοι τοιαῦτα καὶ τηλικαῦτα προσόντα ἀπέχουσιν ὅλους παρασάγγας τῶν προσόντων καὶ τῶν γνωρισμάτων τῶν πολλῶν τῶν ἐστερημένων καὶ δὴ γυμνῶν παντὸς ἠθικοῦ καὶ διανοητικοῦ προσόντος καὶ συνεπῶς μηδενὸς ἀξίων [3]. Διὰ ταῦτα οἱ ἄριστοι ἔχουσι πάσας τὰς γνωστικὰς καὶ συναισθητικὰς καὶ βουλητικὰς δυνάμεις ἐπὶ τοσοῦτον ἀνεπτυγμένας, ὥστε δύνανται ἀσφαλῶς κρίνειν περὶ σφῶν αὐτῶν, ὅπερ βεβαίως ἐστὶν ἡ πρώτη βαθμὶς τῆς θεωρητικῆς κλίμακος, τῆς ἀγούσης εἰς τὰ μέγαρα τῆς ἀνάσσης τῶν ἐπιστημῶν· ἄνευ γὰρ τοῦ «γνῶθι σαυτὸν» ἡ ἀποπλάνησις τοῦ φιλοσοφοῦντος Ἐγώ ἐστιν ἀναπόδραστος. Οἱ ἄριστοι ὡς κεκτημένοι τὴν ἀρετὴν τῆς αὐτοσυνειδησίας σταθμίζουσι λίαν περιεσκεμμένως καὶ μεμετρημένως τὰς σχέσεις τῶν ἀνθρώπων, αἵ εἰσιν ὡς ὀργανικὸς μηχανισμός, οὗ ἐν τῇ λειτουργίᾳ ἀπαιτεῖται προσοχὴ μεγίστη· διὸ οἱ ἄριστοι ὡς αὐτοσυνείδητα μέλη τοῦ ἠθικοῦ τούτου μηχανισμοῦ δεικνύασιν ὕψιστον ἐνδιαφέρον· διὸ καὶ ἐμμένουσιν ἐν τοῖς νομίμοις [4]. Τοιούτων δὲ τῶν ἀρίστων ὄντων ἡ ἀναγκαιότης καὶ ἡ ἀξία αὐτῶν ἐν τῇ κοινωνίᾳ ἐστὶν ἀναμφισβήτητος· διὰ ταῦτα δικαίως ἀρίστη πολιτεία ἐστὶν ἡ ὑπὸ τῶν ἀρίστων οἰκονομουμένη [5]. Τούτων οὕτως ἐχόντων, ὁ Ἀριστοτέλης τιθεὶς ὡς γνωστὸν τὴν πολιτείαν ὡς τὸ ἐκπαιδευτήριον πάσης ἠθικῆς καὶ διανοητικῆς τελειότητος καὶ τὸ γυμνάσιον πάσης πρακτικῆς σοφίας ἀποφαίνεται, ὅτι τούτους δεῖ διευθύνειν καὶ ποδηγετεῖν τὴν

---

1) Ρητ. Α. 7. 1365. β 34. — 2) Ρητ. Α. 9. 1366. β 1 - 3. — 3) Ἠθικ. νικ. Θ. 9. 1159. α 1 - 3. — 4) Ρητ. Α. 8. 1365. β 35. — 5) Πολ. Γ. 18. 1288. α 32.

μεγάλην ταύτην Σχολήν[1]. Διότι ἀληθῶς τίνες ἄλλοι δύνανται ἀριστραρχεῖν καὶ συνεπῶς ἐπαξίως ἐν προεδρίᾳ εἶναι ἢ οἱ ἄριστοι καὶ οἱ βέλτιστοι; μόνοι γὰρ οὗτοι ἴσασι τὰ καθήκοντα καὶ τὰ δίκαια τοῦ ἄρχοντος καὶ διευθύνοντος τὴν πολιτικὴν ταύτην καὶ ἐκπολιτιστικὴν μηχανήν. Πόσοι οὐκ ἐπιλανθάνονται, ὅτι οἱ ἄρχοντες ἄρχουσιν ἀνθρώπων καὶ οὐ κτηνῶν; ὅτι ἄρχουσι κατὰ νόμους καὶ οὐκ αὐθαιρέτως; ὅτι ἄρχουσι προσκαίρως καὶ οὐκ ἀεί; ὅμως γε οἱ ἄριστοι ὡς ἠθικῶς καὶ διανοητικῶς ὅσον ἀνθρώπῳ ἐφικτὸν τέλειοι οὐκ ἐπιλανθάνονται οὐδὲ κεραίας ἑνὸς τούτων, διὸ καὶ μόνοι ὁμολογουμένως δύνανται ἀρισταρχεῖν. Ἐπεὶ δὲ πρὸς τοῦτο ἀπαιτεῖται ἠρεμία πνευματική τε καὶ σωματικὴ δεῖ αὐτοὺς σχολάζειν[2].

Ἔχοντες οἱ ἄριστοι ὡς ἔφθην εἰπὼν συνείδησιν ἀκριβῆ καὶ ὅσον οἷόν τε τελείαν τοῦ «γνῶθι σαυτὸν» ἀναμφιβόλως οὐ δύνανται παραγνωρίσαι τὴν ἱκανότητα, ὁπουδήποτε κἂν εὑρίσκηται, ἐάν τε ἐν ἑαυτοῖς, ἐάν τε ἐν ἑτέροις. Διὰ ταῦτα, ἐὰν παρατηρῶσιν, ὅτι οἱ φαῦλοι καὶ οἱ πονηροὶ ὑπερισχύσαντες καταδυναστεύουσι τῶν ἀγαθῶν καὶ ἐπιεικῶν, οὐ δύνανται τοῦτο φέρειν. Διὸ ἔνθεν μὲν πρὸς σωτηρίαν ἑαυτῶν τε καὶ τῶν τούτοις ὁμοίων, ἑτέρωθεν δὲ πρὸς ἱκανοποίησιν τῆς οὕτως ἀγροίκως προσβαλλομένης τιμῆς αὐτῶν, ἐπιτίθενται καὶ στασιάζουσι μάλιστα τούτων οἱ χαρίεντες μέχρις οὗ τέλος ὑπερισχύσαντες λάβωσι τὴν ἐξουσίαν αὐτοδικαίως αὐτοῖς ἀνήκουσαν. Ἀληθῶς μακάριαι καὶ τρὶς μακάριαι αἱ πολιτεῖαι αἱ ὑπὸ τῶν τῆς τάξεως ταύτης ἀρχόμεναι καὶ οἰκονομούμεναι· τοιούτους γὰρ κυβερνήτας καὶ ποδηγέτας ἐχούσας ἀδύνατον μὴ διακεῖσθαι ἄριστα[3]· κεκτημένους γὰρ πάσας τὰς ἠθικὰς καὶ διανοητικὰς ἀρετὰς καὶ ἐν γένει τελειότητας, δι' ὧν ἀναπτύσσονται ἡ φιλανθρωπία καὶ ἡ ἐπιείκεια, προσόντα ἀναγκαιότατα τοῖς ἄρχουσιν, ἀδύνατον μὴ εὑρεῖν τὸ μέσον, δι' οὗ κρατεῖται ἄκρα ἰσορροπία καὶ τελεία ἁρμονία ἐν ταῖς σώφροσιν ἀπαιτήσεσι καὶ ἀληθέσι συμφέρουσι τῶν ἀρχομένων. Διὸ καὶ μόνοι οὗτοι ὡς ἄρχοντες δύ-

---

1) Πολ. Β. 1273. 6. 5. Δ. 4. 1292. α. 10. — 2) Πολ. Β. 11. 1273. α 32-35. — 3) Πολ. Γ. 18. 1288. α. 33-37.

νανται ταῖς μὲν ἐπιστημονικαῖς αὐτῶν γνώσεσι κρίνειν ὀρθῶς, τῇ ἑαυτῶν δὲ κραταιᾷ δυνάμει ἀπορρεούσῃ ἀμέσως ἐκ τῆς ἀγάπης τῶν ὑπ' αὐτῶν ἀρχομένων κολάζειν τοὺς φαύλους καὶ μοχθηρούς, ἡνίκα πειρῶνται διαταράξαι τὴν εἰρήνην καὶ εὐτυχίαν τῶν ἀγαθῶν καὶ ἐπιεικῶν, τῇ ἑαυτῶν δὲ χρηστότητι εὐεργετεῖν καὶ ἀνταμείβειν τοὺς δι' οἱουδήποτε μέσου εὐεργετοῦντας ἢ εὐεργετήσαντας τὴν πολιτείαν, ἐν ἑνὶ δὲ λόγῳ αὐτοὶ μόνοι καὶ οἱ ἀγαθοὶ καὶ οἱ ἐπιεικεῖς, ὡς παρακατιόντες ὀψόμεθα, δύνανται ἐφαρμόσαι τοὺς νόμους τῆς πολιτείας ἐν συνειδήσει, ἐν φιλανθρωπίᾳ καὶ ἐν δικαιοσύνῃ κατὰ τὰς εὐχὰς καὶ συμφέροντα τῶν ὑπ' αὐτῶν ἀρχομένων συγχωνεύοντες τὴν ἑαυτῶν βούλησιν καὶ ἐπιθυμίαν καὶ εὐχὴν ταῖς βουλήσεσι καὶ ἐπιθυμίαις καὶ εὐχαῖς τῶν ἀρχομένων, ἐφ' ὅσον αὗταί εἰσιν ὀρθαί, λογικαί, δίκαιαι. Τέλος συντόμως εἰπεῖν μόνον ὑπὸ τοιούτους ἄρχοντας δύνανται αἱ πολιτεῖαι διοικηθῆναι καὶ οἰκονομηθῆναι ἄριστα καὶ διατελεῖν οὖσαι ἄρισται[1], ὅπερ ἐστὶν ὁ τελικὸς σκοπὸς τῶν πολιτειῶν[2].

ΔΕΥΤΕΡΟΝ ΜΕΡΟΣ

§ 7.

Οἱ ἀγαθοί, οἱ ἐπιεικεῖς, οἱ καλοὶ κἀγαθοί.

Ὡς οἱ ἄριστοι διακρίνονται τῶν εὐγενῶν, ἐπειδὴ οὐκ ἔχουσι τὴν ἀρχικὴν δύναμιν τίκτειν ἑτέρους ἑαυτοῖς ὁμοίους, οὕτω καὶ οἱ ἀγαθοὶ καὶ ἐπιεικεῖς διακρίνονται τῶν ἀρίστων, ὡς στερούμενοι τῶν προσόντων αὐτῶν καὶ ἰδίως τῆς ὑπὸ τοῦ νόμου κειμένης παιδείας, κεκτημένοι μόνην τὴν ἠθικὴν ἀρετήν, ἥτις ὡς ἐρρήθη ἐστὶ δύναμις ποριστικὴ ἀγαθῶν καὶ φυλακτική, καὶ δύναμις εὐεργετικὴ πολλῶν καὶ μεγάλων καὶ πάντων περὶ πάντα. Ἐκ τῶν μερῶν δ' αὐτῆς[3] κέκτηνται οἱ ἀγαθοὶ ἰδίως τὴν δικαιοσύνην, τὴν ἀνδρείαν, τὴν

---

1) Πολ. Γ. 18. 1288. α 33 - 37. — 2) Πολ. Γ. 9. 1280. β. 36. — 3) Ρητ. Α. 9. 1366. α 37.

σωφροσύνην, τὴν μεγαλοψυχίαν, τὴν πρᾳότητα καὶ πρὸ πάντων τὴν πρακτικὴν σοφίαν ἤτοι τὴν φρόνησιν[1]. Ἡ ἠθικὴ ἀρετὴ ὑπόκειται ὡς θεμελιώδης βάσις τοῖς τε εὐγενέσι καὶ τοῖς ἀρίστοις. Ἡ δυὰς ἄρα αὕτη ἔχει ὡς κοινὸν γνώρισμα τὴν ἠθικὴν ἀρετήν, ἧς ἄνευ πᾶν ἄλλο εἴτε πλοῦτος, ἅτε ἀσθενής, εἴτε δόξα, ἅτε ἀσθενεστέρα, εἴτε ἀρχαί, εἴτε τιμαὶ ὡσαύτως, εἴτε αὐτὴ ἡ μεγαλώνυμος εὐγένεια, ἅτε ἀφανοῦς τοῦ ἑαυτῆς κάλλους[2], ἐστὶ μάταιον καὶ κενόν[3]. «Ἄνευ γὰρ ἀρετῆς παντελοῦς» λέγει ὁ μέγας Ἀριστοτέλης «οὐκ ἔστι τὰ τοιαῦτα· ὑπερόπται γὰρ καὶ ὑβρισταὶ οἱ τὰ τοιαῦτα ἔχοντες ἀγαθὰ γίγνονται[4]. Πρὸς δὲ ἄνευ ἀρετῆς οὐδὲν ἐν τῷ κόσμῳ τούτῳ κέκτηται ἠθικὴν ἀξίαν καὶ ὡς ἀπομακρύνον τὴν ἀληθῆ ἡδονήν, ἧς συμπαράγοντες εἴησαν ἂν ὁ πλοῦτος, ἡ εὐγένεια, ἡ δόξα καὶ τὰ τούτοις παραπλήσια, καὶ συνεπῶς τὴν εὐδαιμονίαν, μεθ' ἧς αὕτη παραμέμικται[5]. Ἐκ τῶν εἰρημένων γίγνεται δῆλον, ὅτι αἱ μεταξὺ τῶν τῆς πρώτης δυάδος παρατηρούμεναι διαφοραί εἰσιν ἐξωτερικαὶ ἤτοι κατὰ τύχην ὅ ἐστι κατὰ γένος, εὐγένειαν καὶ πλοῦτον καὶ δυνάμεις καὶ τἀναντία τούτοις[6]. Τούτων οὕτως ἐχόντων, δῆλον, ὅτι ὅ,τι ἐπὶ τῆς ἀρετῆς βασίζεταί ἐστιν ἀδιάσειστον[7]· διὰ ταῦτα καὶ ἡ ἐκ ταύτης προερχομένη ἡδονὴ καὶ δόξα καὶ ἀρχαὶ καὶ ἐξουσίαι καὶ πᾶν ἄλλο γέννημα καὶ προϊὸν αὐτῆς ἐστι μόνιμον καὶ οὐχ ὡς τῶν φαύλων καὶ μοχθηρῶν, ὧν τὰ πάντα ἐστὶ φροῦδα, ἅτε συνθνήσκονθ' ὑπὸ χθονός. Διὰ ταῦτα οἱ καλοὶ κἀγαθοὶ οὐ γίγνονται ὑπερόπται καὶ ὑβρισταὶ, ἀλλ' ἐπιεικεῖς καὶ χρηστοί, φροντίζοντες μόνον πρὸς ἀκριβῆ ἐκπλήρωσιν τοῦ ἐπὶ τῆς γῆς ταύτης προορισμοῦ αὐτῶν. Ἐν τῇ ἐκπληρώσει δὲ τῆς θείας ταύτης ἐντολῆς ἐξασκοῦνται ἐν τῇ ἀρετῇ ἔτι μᾶλλον καὶ ἀποβαίνουσιν ὡς εἰκὸς ἠθικῶς τελειότεροι, διδασκόμενοι οὕτως εἰπεῖν ἠθικῶς ἐν τῷ διδάσκειν· διὸ καὶ μέγιστον καλὸν τὸ χρῆμα τοῦτο τῶν ἀ-

1) Πρβλ. Ἠθικ. νικ. Δ. 7. 1123. 6. 35. 1124. α 1. — 2) Fragm. 82. 1490. — 3) Πρβλ. πολ. Α. 2. 1253. α 31. — 4) Ἠθ. νικ. Δ. 8. 1124. α. 28 - 30. — 5) Ἠθ. νικ. Κ. 7. 1177. α. 21 - 25. — 6) Ρητ. Β. 12. 1389. α 1 - 2. — 7) Ἠθικ. νικ. Θ. 4. 1156. 6. 12.

γαθῶν καὶ ἐπιεικῶν· ἐκ τοῦ συζῆν γὰρ αὐτοῖς γίγνεται ἄσκησις τῆς ἀρετῆς.[1]

Δι' οὐδενὸς ἄλλου μέσου δύνανται αἱ πολιτεῖται εὐδοκιμῆσαι καὶ εὐδαιμονῆσαι ἢ διὰ τῆς ἀκριβοῦς ἐκπληρώσεως καὶ εὐλαβοῦς τηρήσεως τῶν πρὸς τὸν Θεὸν καὶ πρὸς τοὺς γονεῖς καὶ πρὸς τὴν πατρίδα καθηκόντων τῶν πολιτῶν· τοιοῦτοι δὲ πολῖται εἰσιν ἀκριβῶς οἱ ἀγαθοὶ καὶ οἱ ἐπιεικεῖς, ὡς μόνοι δυνάμενοι ἀπονεῖμαι προσηκόντως καὶ ἄνευ ὑποκρίσεως τὴν πρὸς τὸ θεῖον ἀπαιτουμένην καὶ ἠθικῶς ἐπιβαλλομένην λατρείαν, τὴν πρὸς τοὺς γεννήσαντας, θρέψαντας καὶ ἐκπαιδεύσαντας γονεῖς ἀπαραιτήτως ὀφειλομένην ὀφειλὴν καὶ τιμήν, τὴν πρὸς τοὺς νόμους τῆς πατρίδος εὐλάβειαν καὶ σωκρατικὴν ὑπακοήν [2].

Γινώσκοντες δ' οἱ ἀγαθοὶ καὶ οἱ ἐπιεικεῖς, ὅτι ἢν μή τις ἐξουσιάσῃ τῶν ἑαυτοῦ παθῶν, οὐ δύναται ἥ τε διάνοια αὐτοῦ καὶ ἡ καρδία ἐνεργεῖν ἐλευθέρως, κρατοῦσι πρώτιστα μὲν γαστρὸς καὶ ὕπνου, λαγνείας τε καὶ θυμοῦ[3]· διὸ καθίστανται ἱκανοὶ καὶ ἐπιτήδειοι ἀσκεῖν μόνοι δικαιοσύνην ἔργῳ τε καὶ λόγῳ. Καίτοι πολλάκις πένονται φρικτῶς, ὡς τῆς τύχης πρὸς αὐτοὺς πάνυ φειδωλῆς ἀείποτε διακειμένης, οὐδέποτε ὅμως διαμείβονται τῆς θείας ἀρετῆς τὸν πλοῦτον τοῖς φαύλοις καὶ μοχθηροῖς, πρὸς οὓς ἡ τύχη τείνει ἀείποτε πλουσιοπαρόχους τὰς χεῖρας, οὐδὲ παρασύρονται ἕνεκα τούτου εἰς στάσεις καὶ κακουργίας[4]. Βεβαίως ἡ ὁδὸς ἡ πρὸς τὴν πολύμοχθον καὶ τλήμονα ἀρετήν ἐστι μακρὰ καὶ ὀρθία καὶ τραχεῖα[5]· ἀλλὰ καίτοι τοιαύτης τῆς πρὸς τὴν ἀρετὴν ὁδοῦ οὔσης, οἱ ἀγαθοὶ εἰς οὐδὲν λογίζονται τὰς ὑπὲρ ἄνθρωπον δυσκολίας, ἀλλ' ἐπιχειροῦσι θαρραλέως τὴν πρὸς αὐτὴν ἄνοδον. Ὡς οἱ ναυαγήσαντες πρὸ φοβεροῦ καὶ ἀποκρήμνου ὄρους οὐχ ἵστανται ἐν τῷ μέσῳ τῆς κλιτύος αὐτοῦ, ἀλλὰ ζητοῦσι τὴν κορυφήν, ἵνα ἐκεῖθεν σωθῶσιν, οὕτω καὶ οὗτοι οὐ παύονται διὰ βίου ἀγωνιζόμενοι πρὶν ἂν

1) Ἠθικ. νικ. I. 9. 1170. α. 11-12. — 2) Προβλ. περὶ ἀρ. καὶ κακ. 1250 β. 20. — 3) Περὶ ἀρ. καὶ κακ. 1250. — 4) Προβλ. πολ. Β. 6. 1265. β 12. — 5) Fragm. 625. 1583. β 8. 598. 1575. β 11.

ἀνέλθωσι πρὸς αὐτὴν τὴν ἠθικὴν ἀκρόπολιν, πρὸς ἣν οἱ πολλοὶ μόνον προσβλέποντες ἰλιγγιῶσιν· οἱ ἀγαθοὶ δὲ δύνανται ἀνελθεῖν εἰς αὐτὴν τὴν ἑστίαν, ἐν ᾗ ἑδρεύει τὸ σύνολον τῶν θείων ἐκείνων μοιρῶν, αἳ ἐοίκασιν ἀκτῖσι τοῦ ἡλίου τῆς δικαιοσύνης, οἷα ἐνδεδυμένοι τὸν φωτοφόρον χιτῶνα τῆς σωφροσύνης καὶ τῆς ἐγκρατείας, τῆς ἀνδρείας καὶ τῆς μεγαλοψυχίας· διὰ μὲν γὰρ τῆς σωφροσύνης γίγνονται ἀνόρεκτοι τῶν περὶ τὰς ἀπολαύσεις φαύλων καὶ κτηνωδῶν ἡδονῶν τῶν ὅλως ἀναρμόστων τῇ χρηστῇ αὐτῶν ἰδιότητι· διὰ δὲ τῆς ἐγκρατείας κατέχουσι τῷ λογισμῷ τὴν ἐπιθυμίαν, ἣ ἔγκειται τοῖς μέλεσι τῶν βροτῶν, παρορμῶσα αὐτοὺς ἀγρίως ἐπὶ τὰς φαύλας καὶ αἰσχρὰς ἡδονὰς καὶ πάθη, ῥυπαινούσας τὸ θειότατον τοῦτο ὄν, τὸν ἄνθρωπον· διὰ δὲ τῆς ἀνδρείας καρτεροῦσι καὶ ὑπομένουσι τὴν κατὰ φύσιν ἔνδειάν τε καὶ λύπην καὶ οὕτω καθίστανται δυσέκπληκτοι ἀνερχόμενοι τὴν μακρὰν καὶ ὀρθίαν καὶ τραχεῖαν ἐκείνην ὁδόν, τὴν πρὸς τὴν πολύμοχθον καὶ τλήμονα ἀρετὴν ἄγουσαν· εἰσὶ δ' ἔτι δι' αὐτῆς εὐθαρσεῖς ἐν τοῖς δεινοῖς καὶ εὔτολμοι ἐν τοῖς κινδύνοις· διὸ αἱροῦνται μᾶλλον ἀποθανεῖν καλῶς καὶ ἐνδόξως, γινομένου τοῦ θανάτου αὐτῶν αἰτίου σωτηρίας τῇ ἑαυτῶν πατρίδι ἢ σωθῆναι αἰσχρῶς καὶ ἀνάνδρως ἐν ταῖς δειναῖς αὐτῆς περιστάσεσι· καὶ τέλος διὰ τῆς μεγαλοψυχίας φέρουσι γενναίως καὶ νουνεχόντως εὐτυχίαν καὶ ἀτυχίαν, τιμὴν καὶ ἀτιμίαν καὶ πᾶν τὸ παρομαρτοῦν ἐν τῇ ἐξασκήσει τῆς θείας ἀρετῆς τῷ ἀσθενεῖ σαρκίῳ· οὕτω δὲ ἐνδεικνύασι τὸ μέγα τῆς ψυχῆς αὐτῶν βάθος καὶ ὕψος ἤτοι τὸ τέλειον αὐτῆς.[1] Οἱ ἀγαθοὶ ἔχοντες τὰς τέσσαρας ταύτας φωτεινοτάτας λαμπάδας καὶ τὴν κλεῖδα τῆς πρακτικῆς σοφίας τοῦτ' ἔστι τὴν φρόνησιν δύνανται ἀνοῖξαι τὸ βουλευτήριον, οὗ ἐπὶ τῶν λαμπρῶν πινάκων ἀναγινώσκει τις διὰ τῶν τῆς διανοίας ὀφθαλμῶν τὸ εὖ βουλεύεσθαι, τὸ προσφόρως χρῆσθαι ἑκάστῳ πράγματι καθ' ἑκάστην τὴν ἡμέραν προσπίπτοντι, τὸ στοχάζεσθαι τοῦ ἀληθοῦς συμφέροντος, τὸ ὁμιλεῖν προσηκόντως καὶ δικαίως τοῖς ἀεὶ αὐτῷ συνοῦσι, τὸ φέρειν μὲν ῥᾳδίως τὰς μετὰ

---

1) Πρβλ. περὶ ἀρ. καὶ κακ. 1249 - 1251.

μετὰ τῶν πολλῶν καὶ φαύλων ἀηδείας καὶ βαρύτητας, τὸ παρέχειν δ' ἑαυτὸν ὡς ἀνθρωπίνως δυνατὸν τοῖς συνοῦσιν ἐλαφρότατον καὶ μετριώτατον καὶ ἐν γένει τὸ κρίνειν προσηκόντως πάντα τὰ ἐν τῷ βίῳ αἱρετὰ καὶ φευκτά. Ἐντεῦθεν ἀναπτύσσεται παρ' αὐτοῖς τὸ πρᾷον καὶ δίκαιον, ὧν τῷ μὲν πρώτῳ οἷοι τ' εἰσὶ φέρειν μετρίως ἐγκλήματα καὶ ὀλιγωρίας καὶ μὴ ὁρμᾶν ταχέως ἐπὶ τὰς τιμωρίας, ἀλλ' εἶναι δυσκίνητοι πρὸς τὰς ὀργάς, ἄπικροι δὲ τῷ ἤθει καὶ ἀφιλόνεικοι ἔχοντες ἐν τῇ ψυχῇ αὐτῶν τὸ ἠρεμαῖον καὶ συγγνωμονικόν, τῷ δὲ δευτέρῳ, τῇ δικαιοσύνῃ, ἐν ᾗ ἔνι συλλήβδην πᾶσα ἀρετὴ[1] διδάσκονται τὸ κατ' ἀξίαν διανέμειν, τὸ σώζειν τὰ πάτρια ἤθη καὶ τὰ νόμιμα, τὸ ἀληθεύειν ἐν τῷ διαφέροντι, τὸ διαφυλάττειν τὰς ὁμολογίας καὶ εἴ τι ἕτερον· ἀλλὰ τοῖς οὕτω ζῶσιν ἕπεται ὅλη τετρὰς λαμπρῶν ἀδελφῶν τουτέστιν ἡ ὁσιότης καὶ ἡ ἀλήθεια καὶ ἡ πίστις καὶ ἡ μισοπονηρία[2]. Τούτων οὕτως ἐχόντων, ἡ ψυχὴ αὐτῶν κέκτηται δύναμιν ὀρθοῦν μοχθηρίαν σκήνους, ἁπλοῦ ὀργάνου αὐτῆς ὄντος· τούτου δ' ἕνεκα οἱ ἀγαθοὶ εἰδότες, ὅτι μόνη ψυχὴ πεπαιδευμένη ἐν τῇ πρακτικῇ σοφίᾳ προσαγορευθείη ἂν εὐδαίμων· τῷ λόγῳ γὰρ ἡ ψυχὴ καθίσταται εὐδαίμων καὶ καθίστησι τὸ ἐν ᾧ ἐνοικεῖ σῶμα εὔδαιμον, ἐνισχύουσιν αὐτὴν ὅλῃ δυνάμει διὰ τῆς ἐμπρεπούσης αὐτῇ πνευματικῆς τροφῆς μᾶλλον ἢ τὸ σῶμα δι' ἀπρεποῦς τινος τρυφῆς ποιούσης αὐτὸ ἄτονον πρὸς τὰς πνευματικὰς ἑαυτοῦ ἐνεργείας· ἡ ἰσχὺς γὰρ σώματος ἄνευ λογισμοῦ τίθησι ψυχὴν οὐδὲν ἀμείνω[3].

Οἱ ἀγαθοὶ ποιοῦσι τὴν ἱερὰν αὐτῶν καρδίαν βωμόν, ἔνθα νυκτὸς καὶ ἡμέρας καπνίζει ὁ πρὸς τοὺς πέλας ἔλεος[4]· τὸ θῦμα δὲ τοῦτο περιστοιχίζει πλῆρες σύμπλεγμα ἀρετῶν χορόν τινα οἱονεὶ ἀποτελουσῶν. Ἐντεῦθεν προέρχεται ἡ παρατηρουμένη παρὰ τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν ἁρμονία τῶν ἠθικῶν ἀρετῶν, ὧν προεξάρ-

1) Ἠθικ. νικ. Ε. 3. 1129. 6 30. — 2) Πρβλ. περὶ ἀρ. καὶ κακ. 1249 - 1251. — 3) Ἠθικ. νικ. Κ. 9. 1179. α 22 - 32. Fragm. 89. 1491. 6 42 — 4) Πρβλ. Ρητ. Β. 8. 1385.

χει ἡ φιλία, ἡ ἐστιν ὄντως φιλία[1], ὡς δὲ τοιαύτη ἀπολύτως ἤτοι κατὰ χρόνον καὶ κατὰ τὰ λοιπὰ[2] τελεία[3]· ἀλλ' ἰστέον, ὅτι ἡ τοιαύτη φιλία ἐξασκεῖται μεταξὺ αὐτῶν καὶ τῶν κατ' ἀρετὴν ὁμοίων[4]. Ἐν τῷ κύκλῳ ἄρα αὐτῶν οὐ δύναται φαῦλος ἤ τις τῶν πολλῶν εἰσπηδῆσαι· ἐπειδὴ δ' οὗτοί εἰσιν ἀγαθοὶ καθ' ἑαυτούς, βούλονται τἀγαθὰ ὁμοίως ἀλλήλοις. Οἱ δὲ βουλόμενοι τἀγαθὰ τοῖς φίλοις ἐκείνων ἕνεκα μάλιστα φίλοι· ἐπεὶ δ' ἑκάτερός ἐστιν ἁπλῶς ἀγαθὸς καὶ τῷ φίλῳ διαμένει ἡ φιλία αὐτῶν ἐς ἀεί, τοιαύτη γὰρ φιλία μόνιμος εὐλόγως ἐστιν. Ἐντεῦθεν προέρχεται ἡ μεταξὺ τῶν ἀγαθῶν καὶ ἐπιεικῶν ἅμιλλα τὶς φανεῖται ὠφελιμώτερος τοῦ ἄλλου· πᾶς γὰρ ἐγωϊσμός, πᾶσα ἰδιοτέλεια ἐξωστράκισται τοῦ ἱεροῦ αὐτῶν περιβόλου. Τοιαύτη δ' οὖσα ἡ φιλία συνάπτει ἐν ἑαυτῇ πάνθ' ὅσα τοῖς φίλοις δεῖ ὑπάρχειν[5]. Ἔστι μὲν ἡ φιλία τῶν ἀγαθῶν μεταξὺ ἀλλήλων μόνον, ἀλλ' ἡ καλοκαγαθία αὐτῶν, καίτοι ὑπὸ ὅρους[6], ἐκτείνεται, καθ' ὃν τρόπον ἐκτείνονται αἱ εὐεργετικαὶ ἀκτῖνες τοῦ ἡλίου ἐφ' ὅλας τὰς ἀπεράντους ἐκτάσεις τοῦ σύμπαντος, καθ' ὅλην τὴν ἔκτασιν τῶν δύω δυάδων, οὐ μὴν ἀλλὰ καὶ αὐτῆς τῆς ἀλόγου φύσεως· δι' ὃ δικαίως ἐπισύρουσι γενικὴν καὶ ἀμέριστον τὴν ἀγάπην καὶ τὸν σεβασμὸν πάντων[7].

Τοιοῦτοι δ' ὄντες οἱ ἀγαθοὶ αἰσθάνονται ἀνέκφραστον τὴν ψυχικὴν θυμηδείαν ἐπὶ τοῖς τῶν πέλας αὐτῶν ἀγαθοῖς[8]. Δῆλον ἄρα ἐντεῦθεν, ὅτι οἱ ἀγαθοὶ καὶ οἱ ἐπιεικεῖς ἔχουσι τὴν ἕξιν τῆς ψυχῆς εὐάρμοστον πρὸς ἁπάσας τὰς ἠθικὰς ἀρετὰς καὶ οὐ μόνον πρὸς μίαν τούτων. Διὰ ταῦτα καὶ ἀπέχουσιν ὅση δύναμις τῆς τε φιληδονίας ἐν ταῖς διὰ τοῦ σώματος ἀπολαύσεσι, τῆς τε πλεονεξίας ἐν τῷ κερδαίνειν, καὶ τῆς φιλοδοξίας ἐν τῷ τῶν ἴσων καὶ τῶν ὁμοίων ὑπερέχειν. Διὰ ταῦτα δικαίως χαρακτηρίζονται καὶ ὡς οἱ

---

1) Ἠθ. νικ. Θ. 7. 1157. 6 25. — 2) Ἠθ. νικ. Θ. 5. 1156. 6 33. — 3) Ἠθ. νικ. Θ. 4. 1156. 6 7. — 4) Ἠθ. νικ. Θ. 4. 1156. 6 7. — 5) Ἠθ. νικ. Θ. 4. 1156. 6 8 - 19. — 6) Πρβλ. Ρητ. Β. 9. 1386. — 7) Πρβλ. Ρητ. Β. 4. 1380. — 8) Πρβλ. πολ. Η. 13. 1332. α 21 - 23. Γ. 4. 1276. 6 33. Ἠθ. νικ. Α. 8. 1099. α 7 - 23. Ι. 9. 1170. α 8 - 11.

βέλτιστοι τῶν πολιτῶν· «οἱ βέλτιστοι γὰρ τῶν πολιτῶν οἱ μέσοι πολῖται[1]». Ὁ Ἀριστοτέλης καλεῖ τοὺς ἐπιεικεῖς ἕνεκεν τῆς ἠθικῆς ταύτης τελειότητος ἀναμαρτήτους καὶ ἀποφαίνεται, ὅτι ἐστὶν ὠφελιμώτατον ἐν ταῖς πολιτείαις ἄρχειν αὐτούς[2]· ἐπειδὴ τὸν ἄρχοντα δεῖ ἔχειν τελέαν τὴν ἠθικὴν ἀρετήν[3], καὶ ἐπομένως ὄντας τοὺς ἀγαθοὺς καὶ τοὺς ἐπιεικεῖς, ὅσον ἀνθρώπῳ ἐφικτόν, ἠθικῶς τελείους δεῖ ἄρχειν, κἂν βούλωνται, κἂν μή, «δεῖ γὰρ τὸν ἄξιον τῆς ἀρχῆς ἄρχειν βουλόμενον καὶ μὴ βουλόμενον[4]» λέγει ὁ Ἀριστοτέλης. Διὰ τῶν ἐπιεικῶν δὲ καὶ τῶν ἀρίστων δύνανται αἱ πολιτεῖαι ἀποβῆναι ἄρισται καὶ ἐπομένως εὐδαίμονες· ἀρίστη γὰρ πολιτεία ἐστὶν ἐκείνη, καθ' ἣν ἡ πόλις ἂν εἴη εὐδαίμων· ἰστέον δ' ὅτι τὴν εὐδαιμονίαν χωρὶς ἀρετῆς ἀδύνατον ὑπάρχειν[5]. Εἰ ἐστιν ἀληθές, ὅτι ἀρίστη πολιτεία ἐστὶ ἡ κεκτημένη δικαίους[6], ἐστὶν ἀναντίρρητον, ὅτι οἱ ἀγαθοὶ καὶ οἱ ἐπιεικεῖς εἴτε ὡς ἄρχοντες, εἴτε ὡς ἀρχόμενοι ἀπαρτίσειεν ἂν τὴν ἐνδεχομένην ἀρίστην πολιτείαν καὶ δὴ τὴν εὐδαιμονεστάτην κοινωνίαν[7], καθ' ὅσον οὗτοί εἰσιν ὄντως κρείττους κατ' ἀρετὴν καὶ δύναμιν τὴν πρακτικήν· δεῖ γὰρ οὐ μόνον ἀρετὴν τοῖς γε ἄρχουσι καὶ ἀρχομένοις ἀλλὰ καὶ δύναμιν, καθ' ἣν ἔσονται πρακτικοί[8].

Ἀλλὰ τί ποιεῖ τὴν τάξιν ταύτην ἔμψυχον εἰκόνα τοῦ θείου, ἵνα οὕτως εἴπω; διότι καὶ οὗτοί εἰσιν ἄνθρωποι ὡσαύτως ἀνθρωπίνην ἀσθένειαν περικείμενοι· ἔχουσιν ὁμοίως πάθη. Ἡ ἀρετὴ τοῦ ἤθους ἀμέλει συνίσταται περὶ πάθη, ὧν ἡ ἡδονὴ καὶ ἡ λύπη ἐστὶν ὑπέρτατα[9], δῆλον δ' ὅτι ἡ ἠθικὴ ἀρετὴ συνίσταται οὐκ ἐν τῇ ἐκριζώσει ἐκ τῆς ψυχῆς τῶν δύο τούτων ἐλατηρίων τῶν ἀνθρωπίνων πράξεων, ἀλλ' ἐν τῇ ῥυθμίσει τούτων μόνῃ· τοῦτο εἰδότες οἱ ἀγαθοὶ καὶ οἱ ἐπιεικεῖς κάλλιστα ῥυθμίζοντες καὶ κανονίζοντες

---

1) Πολ. Δ. 4. 1292. α 9. 11. 1296. α 18. Πρβλ. Bonitz Index aristot. ἐν λέξει «πολίτης». — 2) Πολ. Ζ. 4. 1319. α 1-3. — 3) Πολ. Α. 13. 1260. α 17. — 4) Πολ. Β. 9. 1271. α 12. — 5) Πολ. Ζ. 9 1328. β 35. — 6) Πολ. Ζ. 9. 1328. β 37. — 7) Πολ. Ζ. 8. 1328. α 35. — 8) Πολ. Ζ. 3. 1325. β. 10. — 9) Ἠθ. νικ. Β. 4. 1105. β 23. 9. 1109. β 3-4.

ταῦτα καθιστᾶσι χρήσιμά τε καὶ ὠφέλιμα ἀντὶ ἀχρήστων καὶ βλαβερῶν· ἐπειδὴ δὲ τὸ τῆς φύσεως δῆλον ὡς οὐκ ἐφ' ἡμῖν ὑπάρχει, ἀλλὰ διά τινας θείας αἰτίας[1], ἕπεται ἀναντιῤῥήτως, ὅτι συνεκεράσθη τὰ δύο ταῦτα ἐλατήρια τῶν ἡμετέρων πράξεων τῇ ἀνθρωπίνῃ φύσει οὐ πρὸς βλάβην ἢ καταισχύνην, πάντα γὰρ φύσει ἔχει τι θεῖον[2], ἀλλὰ πρὸς διαμονὴν καὶ σωτηρίαν αὐτῆς[3], ἅτε τῆς φύσεως οὐδὲν μάτην ποιούσης[4]. Ὥστε ἐν μόνῃ τῇ ὀρθῇ ῥυθμίσει καὶ τῇ πεφωτισμένῃ διακανονίσει τῶν δύο τούτων ἰσχυροτάτων παθῶν ἔγκειται πᾶσα ἠθικὴ ἀρετή· ἄλλως γὰρ ἦν ἂν ὅλως ἀκατάληπτον, πως πρᾶξις μετὰ λύπης ἐξασκουμένη θεωροῖτ' ἂν ἐναρέτως γιγνομένη. Ὁ ἀγαθὸς ἄρα κέκτηται πάθη καὶ ἐπιθυμίας ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων, ἀλλ' οὕτως ἐῤῥυθμισμένα καὶ κεκανονισμένα, ὥστ' ἐπιθυμεῖν μόνον, ὧν δεῖ, καὶ ὡς δεῖ, καὶ ὅτε δεῖ[5]. Ἀλλ' ἰστέον, ὅτι ὁ ἄνθρωπος οὐ μόνον ἕνεκεν τῆς θνητῆς καὶ πεπερασμένης αὐτοῦ φύσεως κέκτηται ἀτελῆ τὴν δύναμιν τῆς ἠθικῆς τελειότητος, ἀλλὰ πολλάκις καὶ ἕνεκεν μυρίων ἄλλων ἐξωτερικῶν αἰτίων ἀδυνατεῖ ἀποβῆναι κατ' ἀκρίβειαν ἀγαθός· ὅθεν αὐτὰς γεραίρεται εἴτε ὡς ἄρχων εἴτε ὡς ἀρχόμενος· δεῖ γὰρ μετέχειν καλοκαγαθίας τούς τε ἄρχοντας καὶ ἀρχομένους[6], διὰ τὴν σχετικὴν ταύτην τελειότητα. Δυνατὸν ἄρα τοὺς ἀγαθοὺς καὶ τοὺς ἐπιεικεῖς, ἅτε θνητὴν σάρκα περικειμένους, περιπεσεῖν ἔν τισι καιροῖς καὶ πονηραῖς ἡμέραις ἀτοπήμασιν, ἃ ἐκ διαμέτρου ταῖς ἠθικαῖς αὐτῶν ἀρχαῖς ἀπᾴδει, ἀλλ' οὐκ εἰσιν ὡς παντὶ δῆλον, τῇ τῶν φαύλων καὶ πονηρῶν καταταχτέοι[7]. Ὡς πάλιν οὐκ ἔστιν ὅλως ἀδύνατον συμβῆναι καὶ τοὺς φαύλους καὶ μοχθηροὺς κατορθῶσαί τι. Ἀλλὰ φανερόν, ὅτι οὐχ ἕπεται ἐντεῦθεν, ὅτι εἰσὶ καὶ τῇ τῶν ἀγαθῶν καὶ ἐπιεικῶν τάξει καταταχτέοι· ὥστε τὸ δίκαιον

---

1) Ἠθικ. νικ. Κ. 10. 1179. β 21 - 23. — 2) Ἠθ. νικ. Η. 14. 1153. β 32. — 3) Πρβλ. Ἠθικ. μεγαλ. Β. 7. 1204. Ἠθ. νικ. Β. 4. 1105. — 4) Πολ. Α. 8. 1256. β 20 - 23. — 5) Ἠθ. νικ. Β. 2. 1105. α 12 - 13. Γ. 15. 1119. β 15 - 18. — 6) Πολ. Α. 13. 1260. α 2. — 7) Ἠθικ. νικ. Ε. 10. 1135. β 19 - 25.

καὶ τὸ ὀρθὸν ἀπαιτεῖ ἀποδοῦναι τοῖς μὲν φαύλοις καὶ πονηροῖς τὸ κατορθωθέν, τοῖς δ' ἀγαθοῖς καὶ ἐπιεικέσι τὸ διαμαρτηθέν. Ὁ ἀνθρώπινος γὰρ βίος οὐ συνίσταται ἐκ μόνου ἑνὸς σημείου, ἐν ᾧ ὁ μὲν ἀγαθὸς διαμαρτάνει, ὁ δὲ φαῦλος καὶ πονηρὸς κατορθοῖ τι· ἀλλ' οὗτος σύγκειται ἐκ πολλῶν τοιούτων, ἐν οἷς ἀμφότεροι ἐμμένουσιν, ὁ μὲν πρῶτος ἐνασκῶν κατὰ τὸ ἐνὸν ἀεὶ τὴν ἀρετήν, ὁ δὲ δεύτερος τὴν κακίαν. Ὥστε τὸν θέλοντα κρῖναι ὀρθῶς καὶ δὴ ἀποδοῦναι προσηκόντως ἑκατέρῳ τὸ ἀνῆκον, ἀνάγκη ἀπιδεῖν πρὸς ἅπαντα τὰ τοῦ βίου σημεῖα καὶ μὴ ἐφ' ἓν μόνον ἢ ἐπὶ πλῆθος αὐτῶν. Μηδέποτε ἐπιλαθώμεθα, ὅτι καὶ οἱ ἀγαθοί εἰσιν ἄνθρωποι ὑποκείμενοι ὑπὸ τὴν ἐπήρειαν πάντων τῶν στοιχείων καὶ πασῶν τῶν τῇ ἁγνίᾳ καὶ τοῖς θέλουσιν εὐσεβῶς καὶ ἀναμαρτήτως ζῆν ἀντικειμένων δυνάμεων[1]. Τὸ εἶδος δὲ τῆς εὐτυχίας ἢ τῆς δυστυχίας ἔχει μεγίστην ἐπιρροὴν ἐπὶ τῶν ψυχικῶν δυνάμεων καὶ μάλιστα ἀκαίρως παραγιγνόμενον. Ἀλλ' ἔτι μείζους ἠθικὰς νόσους πέφυκε ποιεῖν ἡ ἑτέρα τούτων, ἡ εὐτυχία, μεθύσκουσα ὡς ἄκρατος οὐ μόνον τῶν πολλῶν καὶ τῶν φαύλων τὴν διάνοιαν, ἀλλὰ καὶ αὐτῶν τῶν ἀγαθῶν καὶ ἐπιεικῶν[2] ἡ μὲν γὰρ ἄγει εἰς τὴν μετριότητα καὶ τὴν κοσμιότητα, ἡ δὲ εἰς τὴν ἀνδρίαν, τὴν μεγαλοψυχίαν καὶ τὴν μεγαλοφροσύνην[3], ἤτοι ἡ μὲν ἀτυχία συνάγει καὶ ἀπαρτίζει τὴν ψυχὴν καὶ τὰς δυνάμεις αὐτῆς, ἡ δὲ εὐτυχία τοὐναντίον ἐπαίρει καὶ κενοῖ αὐτὴν καὶ τὰς δυνάμεις αὐτῆς. Εἰ καὶ οἱ ἀγαθοὶ φέρουσι πᾶσαν εὐτυχίαν καὶ ἀτυχίαν μετρίως[4], ἡ ὑπερβολὴ μέντοι τῆς πρώτης οὐ πέφυκεν ἀεὶ κρατεῖσθαι καὶ ἐξουσιάζεσθαι ὑπὸ τῆς ψυχῆς αὐτῶν καὶ τῆς φρονήσεως, ἡ γὰρ εὐτυχία ὑπερβάλλουσα ἐμπόδιός ἐστιν[5]· ὡς γὰρ τὸ ὑπερβολικὸν φῶς προξενεῖ ἀμαύρωσιν καὶ τοῖς ἰσχυροτάτοις ὀφθαλμοῖς, οὕτω καὶ ἡ ὑπερβάλλουσα εὐτυχία ἀποτυφλοῖ καὶ τὸν ἰσχυρότατον νοῦν, τὸν μόνον ὀφθαλμὸν

1) Ἠθικ. νικ. Α. 13. 1102. β 13 - 31. — 2) Πολ. Ε. 8. 1308. β 4. — 3) Πρβλ. Ἠθ. νικ. Δ. 8. 1124. α 20. — 4) Ἠθ. νικ. Δ 7, 1124. α 12-19. 5) Ἠθικ. νικ. Η. 14. 1153. β 21 - 25.

τῆς ψυχῆς. Ἀλλ' εἰ ἡ εὐτυχία ὑπερβάλλουσα τοιαύτη τις εἴη, οὐκ ἂν εἴη ἴσως δίκαιον καλεῖν αὐτὴν πλέον εὐτυχίαν[1]. Ἐπειδὴ δὲ οὐχ ἡ πονηρία δεῖται μόνον προφάσεως τοῦ πρᾶξαι κακῶς[2], ἀλλ' αὐτὴ ἡ ἀνθρωπίνη φύσις, οἱ ἀγαθοὶ καὶ οἱ ἐπιεικεῖς φεύγουσιν ἐσκεμμένως πᾶσαν πρόφασιν δυναμένην παρασῦραι αὐτοὺς εἰς πράξεις ταῖς ἠθικαῖς αὐτῶν ἀρχαῖς ἀντικειμέναις. Διὰ ταῦτα φεύγουσιν οὐ μόνον πᾶν ὅ,τι ἐδείκνυ ἂν φαύλην καὶ μοχθηρὰν καρδίαν, ἀλλὰ καὶ πᾶν ὅ,τι ἐξήλεγχεν ἂν καὶ ματαιότητα. Τοιαύτην τινὰ ματαιότητα ὁρᾷ τις ἂν περὶ τὰ περιττά, ὧν ἡ μεγίστη σημασία καὶ ἀξία κεῖται ἐν ταῖς τῶν πολλῶν, ἅτε μωρῶν, ὄψεσιν· ἀληθῶς ἡ ματαιότης τῶν ἀνθρώπων ἐν τῷ κεφαλαίῳ τούτῳ οὐκ ἔχει ὅρια· συνήθως σωρεύουσιν οἱ ἄνθρωποι περιττά, καταλαμβανόμενοι ὑπ' ἀνεξηγήτου τινὸς τάσεως, ἐοικυίας οἱονεὶ πρὸς μανίαν, ὠνοῦνται μέγαρα περικαλλῆ, γαίας ἀπεράντους, θησαυροὺς ἀπείρους, ἐπιδιώκουσι θέσεις καὶ τίτλους ἐπιτίμους, ἀρχὰς καὶ ἐξουσίας ἀπολύτους, περὶ δὲ ἠθικῆς τελειότητος ἥκιστα φροντίζουσι. Περὶ αὐτῶν λέγει πάνυ ὀρθῶς ὁ μέγας Ἀριστοτέλης «τῆς μὲν γὰρ ἀρετῆς ἔχει ἱκανὸν εἶναι νομίζουσιν ὁποσονοῦν, πλούτου δὲ καὶ χρημάτων καὶ δυνάμεως καὶ δόξης καὶ πάντα τὰ τοιαῦτα εἰς ἄπειρον ζητοῦσι τὴν ὑπερβολήν[3]».

Ἀλλὰ βεβαίως ταῦτα καὶ τὰ τοιαῦτά ἐστι ζητήματα οὐκ εὐεπίλυτα, καὶ μάλιστα σήμερον, ὅτε ὁ λεγόμενος πολιτισμὸς οὐ μόνον οὐκ ἀποδοκιμάζει, ἀλλὰ καὶ ἐπιβάλλει τρόπον τινὰ τὸ τοιοῦτον σιωπηλῶς· σήμερον ὡς ἡ πεῖρα διδάσκει πάντες δουλεύουσι πυρετωδῶς τῇ πολυτελείᾳ, πάντες διώκουσι τὰ περιττά. Ἰστέον μέντοιγε, ὅτι τὸ τοιοῦτον ἐλέγχει μᾶλλον ἀνθρωπίνην ἀδυναμίαν ἢ ἠθικὴν καὶ διανοητικὴν κακίαν καὶ μοχθηρίαν. Ἡ τοιαύτη ἄρα ἔλλειψις ἐκ μέρους τῶν ἀγαθῶν καὶ ἐπιεικῶν ἀποδοθήτω τῇ ἀθῴᾳ ματαιότητι, ἧπερ κλίνει ταπεινῶς γόνυ πᾶσα ἡ ἀνθρωπότης κατὰ

---

1) Ἠθ. νικ. Η. 14. 1153. β 23-25. — 2) Ῥητ. Α. 19. 1373. α 3 — 3) Πολ. Η. 1. 1323. α 31-38.

γένος καὶ εἶδος. Διὸ μὴ ζητητέον τὴν ἠθικὴν τελειότητα ἐν τῷ κόσμῳ τούτῳ τῆς ματαιότητος, ἅτε ἀπολύτως ἀνέφικτον οὖσαν.

Ἠθικαὶ καὶ διανοητικαὶ ἰδιότητες τῆς δευτέρας δυάδος.

ΠΡΩΤΟΝ ΜΕΡΟΣ

§ 8.

Οἱ πολλοί.

Οἱ πολλοὶ ἀντιτίθενται πρὸς τοὺς τῆς πρώτης δυάδος· διὸ ὅσας ἠθικὰς καὶ διανοητικὰς τελειότητας εἴδομεν παρ' ἐκείνοις, τόσας ἠθικὰς καὶ διανοητικὰς ἐλλείψεις ὀψόμεθα παρ' αὐτοῖς. Οὐκοῦν ὁ ἠθικὸς χαρακτηρισμὸς αὐτῶν ἐστιν ὅλως ἀντίθετος τῷ ἐκείνων· αἱ ἠθικαὶ αὐτῶν κακίαι εἰσὶν οὕτως εἰπεῖν ἀρνητικαί, ἐν ᾧ αἱ τοῦ δευτέρου μέρους τῆς παρούσης δυάδος ἤτοι τῶν φαύλων, ὡς παρακατιόντες ὀψόμεθα, θετικαί, ἤτοι γενικῶς εἰπεῖν οἱ μὲν πολλοὶ οὐ πράττουσι μὲν τὸ καλὸν κἀγαθὸν ἀλλ' οὐ πράττουσιν οὐδὲ τὸ κακὸν καὶ πονηρόν, οἱ δὲ φαῦλοι οὐ μόνον τὸ καλὸν κἀγαθὸν οὐ πράττουσιν ἀλλὰ πράττουσι καὶ τὸ φαῦλον καὶ μοχθηρόν.

Οἱ πολλοὶ οὖν χαρακτηρίζονται ὡς ἀπρονόητοι· ἐν δὲ τῷ πράσσειν οὐ μόνον ἀπροβούλευτοί εἰσιν ἀλλ' οὐδὲ ὁρῶντες εἰσορῶσι τὰ ἐμφανῆ· εἴποιεν ἄν τις, ὅτι πᾶν ὅ,τι οἱ πολλοὶ πράττουσι, πράττουσι μηχανικῶς καὶ ἄνευ αὐστηρᾶς συνειδήσεως. Τούτων οὕτως ἐχόντων, αἱ πράξεις τῶν πολλῶν οὐχ ὑπάγονται αὐστηρῶς, οὐδὲ διευθύνονται ὑπὸ λογικῶν κανόνων.

Ἐπειδὴ δὲ οὐ μόνον αὐτοὶ ἀφ' ἑαυτῶν ἀδυνατοῦσι νοῆσαί τι, ἀλλὰ καὶ ἄλλους ἀκούοντες οὐδὲν βάλλουσιν ἐν θυμῷ εἰσιν ἀλη-

θῶς ἀχρεῖοι καὶ κυριολεκτικῶς ἐτώσια ἄχθη ἀρούρης[1]· διὸ ὡς μωροὶ μωρὰ ἀείποτε φθέγγονται δίκην ψιττακῶν οἰόμενοι, ὅτι οἱ ἄλλοι οὐδὲν ἴσασιν, αὐτοὶ δὲ ἐπίστανται πάντα. Καὶ ἐν ᾧ οὐ μόνον δοξάζουσι τοῦτο ἁπλῶς, ἀλλὰ καὶ ἀπαιτοῦσιν, ἵνα καὶ οἱ ἄλλοι φρονῶσι ταὐτὸ περὶ αὐτῶν ὑποπίπτουσιν ἀεὶ ἀσυγγνώστοις ἠθικοῖς καὶ διανοητικοῖς πλημμελήμασιν[2].

Ἐὰν δέ ποτε ὁρῶμεν τοὺς πολλοὺς κεκτημένους πολλὰ τὰ ἐπίγεια ἀγαθά, μὴ ἐκπληττώμεθα, μεμνησκόμενοι, ὅτι ταῦτά ἐστι τῆς τύχης, ἣ ἐν τῇ τυφλότητι αὐτῆς εὐνοοῦσα κατ' ἐξοχὴν τοῖς ἀνδραπόδοις καθιστᾷ χρυσᾶ ἀποζημιοῦσα οἱονεὶ αὐτά· ἐν δὲ τῇ αὐθαιρέτῳ αὐτῆς δικαιοσύνῃ οὐχὶ σπανιάκις ἡγεμόνας λαῶν. Ἀλλ' οὗτοι ὡς τοιοῦτοι μεθ' ὅλης τῆς εὐνοίας τῆς τυφλῆς καὶ αὐθαιρέτου ταύτης θεᾶς εἰσὶ πόρρω τῆς ἐπιγείου εὐδαιμονίας καὶ μακαριότητος. Ἀδύνατον γὰρ τὴν εὐδαιμονίαν χωρὶς ἀρετῆς ὑπάρχειν[3]. Οἱ τοιοῦτοι οὐχ οἷοί τ' εἰσιν ἀναλαβεῖν τὴν διεύθυνσιν τῶν κοινῶν· ἄνθρωποι γὰρ ἀδυνατοῦντες διευθῦναι προσηκόντως τοὺς ἰδίους αὐτῶν οἴκους ἐστὶν αὐτόδηλον, ὅτι ἐν τῇ πολυπλόκῳ διοικητικῇ μηχανῇ πλανηθήσονται καθ' ὃν τρόπον ξένος τις ἔν τινι μεγάλῃ πόλει μεγάλας καὶ ἀπεράντους ὁδοὺς ἐχούσῃ. Ἀλλ' οὐδὲ αἰσθάνονται τὸ παράπαν ἰσχυρὰν πρὸς τοῦτο ἔφεσιν· ἀληθῶς οὐ στεροῦνται μὲν παντελοῦς φιλοτιμίας «οὐδεὶς γὰρ ἂν ἄλλως ἄρχειν αἰτήσαιτο μὴ φιλότιμος ὤν[4], ἀλλὰ τὸ αἴσθημα τοῦτο ἐκμηδενίζεται πρὸ τοῦ αἰσθήματος τοῦ κέρδους. Ὥστε πᾶν ἄλλο αἴσθημα μὴ συνδεόμενον μετὰ τοῦ κέρδους ἐστὶ δευτερεῦον καὶ δὴ οὐ πολλοῦ λόγου ἄξιον. Οὐκοῦν φεύγουσι τὸ ἄρχειν οὐχί, ὅτι ἴσασιν, ὅτι οὐ δυνατὸν παντὶ ἄρχειν[5], οὐδ' ὅτι οἴονται, ὅτι οὐδέν ἐστιν, οὗ οὗτοι ἄξιοί εἰσι[6], ἀλλὰ τὰ ἀπὸ τῶν ἀρχῶν λήμματα δοκεῖ αὐτοῖς ἀνάξια λόγου· «ἥδιον» λέγει ὁ Ἀριστοτέλης «τὸ ἐργάζεσθαι τοῦ πολιτεύε-

1) Ἠθικ. νικ. Α. 2. 1095. ϐ 10 - 15. — 2) Ἠθ. νικ. Γ. 15. 1119. ϐ 8 - 10. Δ. 7. 1123. ϐ 2 - 4. — 3) Πολ. Η. 9. 1328. ϐ 35 - 36. — 4) Πολ. Β. 9. 1271. α 15 - 16. — 5) Ἠθικ. μεγαλ. Β. 3. 1199. ϐ 23. — 6) Ρητ. Β. 9. 1387. ϐ 12 - 14.

σθαι καὶ ἄρχειν ὅπου ἂν μὴ ᾖ λήμματα μεγάλα ἀπὸ τῶν ἀρχῶν· οἱ γὰρ πολλοὶ μᾶλλον ὀρέγονται τοῦ κέρδους ἢ τῆς τιμῆς[1]. Τούτου δ' οὕτως ἔχοντος, οὐδ' ἂν ἀγανακτοῖεν οἱ τοιοῦτοι εἰργόμενοι τοῦ ἄρχειν, οὐ μὴν ἀλλὰ καὶ χαίρουσιν, ἐάν τις ἐᾷ ἐν τοῖς ἰδίοις σχολάζειν[2]. Οἱ πολλοὶ ἄρα αἱροῦνται μᾶλλον ἄρχεσθαι ἢ ἄρχειν· Διὸ ὁ πειρώμενος καταστῆσαι τοὺς τοιούτους γνωρίμους καὶ δὴ ἐπιφανεῖς καὶ ἐνδόξους ἀνατιθεὶς αὐτοῖς ἀρχὰς καὶ ἐξουσίας ἢ καὶ ἀναβιβάζων αὐτοὺς ἐπὶ ἡγεμονικῶν θρόνων πράττει ταὐτὸ πρὸς τὸν ἀνατιθέντα μεγάλα καὶ δυσβάστακτα φορτία νάνῳ ἢ ἀσθενεῖ. Ἐντεῦθεν φανερόν, ὅτι οἱ πολλοὶ μεμύκασι τοὺς ὀφθαλμοὺς καὶ βεβύκασι τὰ ὦτα εἰς πᾶσαν ἀφῃρημένην καὶ θεωρητικὴν ἐργασίαν, ὡς μὴ ὑπισχνουμένην αὐτοῖς ἄμεσον τό τε κέρδος καὶ τὰς διὰ τοῦ σώματος ἡδονάς· διότι ἡ ἡδονὴ ἡ ἐκ τῶν τοιούτων θεωριῶν προερχομένη ἐστὶν ὅλως ἀλλότριον αὐτοῖς καὶ ξένον, ἅτε χαριζομένοις ταῖς ἐπιθυμίαις καὶ ὅλως τοῖς πάθεσι καὶ τῷ ἀλόγῳ τῆς ψυχῆς[3]· διὸ καὶ ἀποφαίνεται ὁ μέγας ψυχολόγος πάνυ ὀρθῶς περὶ αὐτῶν «οἱ μὲν οὖν πολλοὶ», φησί, «παντελῶς ἀνδραποδώδεις φαίνονται βοσκημάτων βίον προαιρούμενοι[4]». Διὰ ταῦτα δ' ἥν ποτε τοῖς πολλοῖς παραγένηται ἀτύχημά τι καὶ μάλιστα ἀκαίρως οὐχ οἷοί τ' εἰσὶ συναρμόσαι ἑαυτοὺς καὶ ἀντιστῆναι γενναίως κατὰ τῶν ἐπερχομένων κυμάτων τοῦ βιωτικοῦ πόντου, ἀλλὰ ἀποθαρρυνθέντες, κλαίουσι δίκην μωρῶν παιδίων παραδιδόντες ἑαυτοὺς ψυχῇ τε καὶ διανοίᾳ τῇ ἀθυμίᾳ, ἣ ἐπιτείνει τὴν παρομαρτοῦσαν αὐτῇ ἀθλιότητα. Ἀλλ' οὐδὲ τὰ εὐτυχήματα, ἃ ἡ τύχη οὐ σπανίως ἐπιδαψιλεύει αὐτοῖς, δύνανται οἱ πολλοὶ φέρειν· «ἄνευ γὰρ ἀρετῆς οὐ ῥᾴδιον φέρειν ἐμμελῶς τὰ εὐτυχήματα[5]·» διὰ ταῦτα πάντα τὰ ἐπίγεια ἀγαθὰ ἥκιστα δύναται ἐμποιῆσαι αὐτοῖς χαράν, θυμηδίαν καὶ εἴτε ἕτερον τοιοῦτον· ἀπαισιοδοξία γάρ τις καταβασανίζει καὶ κατατρύχει αὐτοὺς ἀεί· διὸ καὶ ἀείποτε ταράττονται, ἀείποτε δια-

1) Πολ. Ζ. 4. 1318. 6 14-16. — 2) Πολ. Ε. 8. 1308. 6 34-36. — 3) Ἠθ. νικ. Ι. 8. 1168. 6 19-21. — 4) Ἠθικ. νικ. Α. 3. 1095. 6 19-22. — 5) Ἠθικ. νικ. Δ. 8. 1124. α 30-31.

τελοῦσιν ὑπὸ τὸ κράτος ἀορίστου τινὸς φόβου, κἂν μὴ κακῶς πράττωσιν[1].

Οὐδὲν ἄρα δύνανται οἱ πολλοὶ φέρειν οὔτε εὐτυχίαν, οὔτε ἀτυχίαν, οὔτε χαρὰν οὔτε λύπην, οὐδ' ἄλλο τι ψυχικὸν πάθος καὶ μάλιστα, ὡς ἐρρήθη, ἀκαίρως παραγενόμενον· εἰκότως δέ· ψυχὴ γὰρ διατελοῦσα κάκιστα ἀδυνατεῖ φυσικῶς ἀναδεῖξαι ἑαυτὴν ἀνωτέραν καὶ κατάρξαι τῶν ἠθικῶν παθῶν τῶν ἐν τῷ βάθει αὐτῆς δίκην σφοδρῶν ἀνέμων ἀνακυκωμένων.

Εἰ καὶ μέντοι γε τοιοῦτοι οἱ πολλοὶ[2], διδόασιν ἐσθ' ὅτε, ἔνιοι τοὐλάχιστον αὐτῶν, καὶ αὐτὸν τὸν χιτῶνα αὐτῶν ὑπὲρ τοῦ παρὰ τοῦ δήμου κροτηθῆναι[3]. Οὐαὶ δὲ τοῖς λαοῖς ἐκείνοις, οἳ καταδεδικασμένοι εἰσὶν ὑπὸ δυσμενοῦς μοίρας ἔχειν ὡς ἀνωτάτους ἄρχοντας ἢ ἡγεμόνας Σαρδαναπάλους, Κλέωνας καὶ τοὺς τοιούτους· τοῦτο δ' οὐκ ἔστιν ὅλως ἀσύνηθες, ὡς δύναταί τις ἐν τῇ παγκοσμίῳ ἱστορίᾳ ἐπισκέψασθαι.

Οἱ πολλοὶ ἀσθενεῖς καὶ ἀδύνατοι τὴν κρίσιν ὄντες οὐδέποτε ποιοῦνται ἐμπρέπουσαν ἐκτίμησιν τῶν πραγμάτων· διὸ τὸ διάστροφον παρ' αὐτοῖς ἐστι σύνηθες· τούτου δ' ἕνεκεν τοὺς πλουσίους καὶ ἰσχυροὺς καίτοι πολλάκις φαύλους καὶ πονηροὺς τιμῶσι καὶ γεραίρουσι, τῶν δὲ σπουδαίων, ὧν οὐκ ἔστιν ἔπαινος, ἀλλὰ μεῖζόν τι καὶ βέλτιον, ἐπὰν ἀχρηματίαν καταγνῶσι, καταφρονοῦσιν. Ἀλλὰ βεβαίως οὐκ εἰσιν ἧσσον γελοιωδέστεροι οἱ φαῦλοι ἐκεῖνοι πλούσιοι καὶ ἰσχυροί, οἳ δέχονται ὑπὸ τῶν τοιούτων ἀνθρώπων τῶν κυριολεκτικῶς ἀκρίτων, τῶν μὴ εἰδότων τὸ παράπαν οὐδὲ προσεχόντων τὸν νοῦν, ὡς λογικῶν ὄντων, πῶς δεῖ ζῆν, τιμήν, ἔπαινον, θαυμασμὸν καὶ τὰ τούτοις παραπλήσια, καὶ ἐνασμενίζουσι σπουδαίως τοῖς τοιούτοις ὡς ἐχομένοις κρίσεως καὶ σπουδαιότητός τινος. Βαβαὶ τῆς κουφονοίας ἀμφοτέρων!

Ἀληθῶς δ' ἀκατανόητόν ἐστιν, ὅπερ λυπηρῶς τοῖς πολλοῖς συμβαίνει· πᾶν ἄλλο γὰρ σπουδάζουσι γενέσθαι ἢ καλοὶ κἀγαθοί. Διὰ

---

1) Ἠθικ. νικ. Γ. 10. 1115. β 30. 1116. α 5.—2) Ἠθικ. νικ. Α. 3. 1095. β 19 - 22. — Πρβλ. Ἠθικ. νικ. Ι. 8. 1168. β 16—21.

τοῦτο ἄρχει αὐτῶν ἀσύγγνωστος καὶ καταχριτέα ὀλιγωρία. Εἰ γὰρ ἐν ταῖς συναναστροφαῖς εἰσιν ὅλως ἀνυπόφοροι, εἰ ἐν θεάτρῳ κάθηνται ξύλα ἐπὶ ξύλων, εἴποτε κακῇ μοίρᾳ διὰ τῆς εὐαλώτου ψήφου τοῦ λαοῦ, πολλὰ γὰρ ὁ πλοῦτος, εἰ μὴ πάντα, δύναται, παρακαθήσαντες ἐν βουλευτηρίῳ ὡς ἀντιπρόσωποι τῶν εὐαπατήτων αὐτῶν ἐκλογέων, κάθηνται ὡς ἰχθῦς ἄφωνοι καὶ ψυχρὰ ἀγάλματα, παιζόμενα δίκην παιγνίων ὑπὸ τῶν ἡγετῶν, οὐ φροντὶς αὐτοῖς. Οἷα ἀναλγησία! Καὶ ἐν ὅσῳ μὲν σιωπῶσίν εἰσί πως ἀνεκτοί, ἐπειδὰν μέν τοι ἀνοίξωσιν τὸ ἀμαθὲς αὐτῶν καὶ μωρὸν στόμα, τότε δὴ καταδεικνῦσιν ἑαυτούς, οἷοί εἰσιν. Οἱ πολλοὶ ῥέπουσι πρὸς τὰς ἡδονὰς καὶ δουλεύουσιν αὐταῖς κνηνωδῶς[1], αἳ ὡς ἄγριαι καὶ ἀνηλεεῖς δέσποιναι οὐδέποτε ἐπιτρέπουσιν αὐτοῖς πνευματικήν τινα ἀνακούφισιν· διὸ καὶ διατελοῦσι δίκην ὑποζυγίων ἀείποτε κεκυφότες καὶ κάτω νεύοντες. Ταῖς ἡδοναῖς γὰρ παρομαρτοῦσι κατ' ἀνάγκην λῦπαι καὶ ἠθικαὶ ὀδύναι· διὸ οἱ πολλοὶ διατελοῦσιν ἐν λύπαις καὶ πόνοις καὶ ἠθικαῖς ὀδύναις. Τὰ τοιαῦτα δ' ἔνοχα πάθη οὐ μόνον τὸ σῶμα ὡς ἄγρια θηρία κατασπαράττοντα διαφθείρει, ἀλλὰ καὶ τὴν ψυχὴν λυμαίνεται καὶ οὕτως εἰπεῖν ἀποκτηνοῦντα αὐτήν, ὡς ἀφαιροῦντα τὸ κάλλιστον αὐτῆς, τὸν λόγον, ὑποβιβάζει αὐτοὺς εἰς τὴν τάξιν τῶν κτηνῶν. Οὕτω δ' ἀποκτηνωθέντες ἀδυνατοῦσιν ἀνακύψαι, μελετῆσαι καὶ κατανοῆσαι τὴν μεταξὺ τοῦ σώματος καὶ τῆς ψυχῆς σχέσιν. Συγχέοντες δ' οὕτως ἄλληλα καταδικάζουσαν ἀσυνειδήτως ὑπηρετεῖν τὴν ψυχὴν τῷ σώματι, δίκην θεραπαινίδος, δέσποιναν καὶ κυρίαν αὐτοῦ οὖσαν. Οἷα πώρωσις!

Ἐάν ποτε συμβῇ τοῖς καλοῖς κἀγαθοῖς ὑποπεσεῖν ἠθικῷ τινι παραπτώματι, συναισθανόμενοι τὴν ἑαυτῶν ἁμαρτίαν καὶ τὴν παρομαρτοῦσαν αὐτῇ καταισχύνην κρύπτουσιν ἑαυτοὺς ὅσον οἷόν τε πολυχρονιώτερον· ἀναγκαζόμενοι δ' ἐμφανισθῆναι ἐνώπιον τῆς κοινωνίας, τοῦ ἀδεκάστου τούτου κριτοῦ, κύπτοντες τὰς κεφαλὰς αὐτῶν, ὁμολογοῦντες οἱονεὶ σιωπηλῶς τὸ «ἡμάρτομεν», ἐξαιτοῦν-

---

1) Ἠθικ. νικ. Κ. 1. 1172. α 31 - 32. Πολ. Α. 5. 1254. α 39 - 62.

ται ἐγκάρδιον τὴν συγγνώμην καὶ τὴν τῶν ἀνθρωπίνων αὐτῶν πλημμελημάτων ἄφεσιν, οὐχ οὕτως οἱ πολλοὶ οὐχ οὕτως ἀλλ' ἢ ζῶσιν ὡς ἄλλα κτήνη [1], οὐδέποτε μέλει αὐτοῖς, εἰ ὁ τοιοῦτος αὐτῶν βίος ἐστὶν ὄνειδος καὶ περίγελως τῆς ὑγιοῦς μερίδος τῆς κοινωνίας. Πῶς γὰρ ἂν ἄλλως ἔζων ἄνευ αὐστηρᾶς ἀνατροφῆς καὶ ἐπιμεμελημένης παιδεύσεως, τῶν σωτηρίων τούτων φάρων τῶν πάνυ εὐστόχως, ὅσον ἀνθρωπίνως ἐστὶν ἐφικτόν, τὸν ἄνθρωπον διευθυνόντων πρὸς τὸν ἀσφαλῆ καὶ ἀκύμαντον λιμένα τῆς τιμῆς καὶ τῆς δόξης, τῆς ἀρετῆς καὶ τοῦ καθήκοντος. Ἀναμφιβόλως ἡ ἔλλειψις τῆς αὐστηρᾶς ἀνατροφῆς καὶ τῆς ἐπιμεμελημένης ἠθικῆς διαπαιδαγωγήσεώς ἐστι παραίτιος καὶ τοῦ ἀτάκτως ζῆν τῶν πολλῶν [2]. Οὕτω δ' οἱ πολλοὶ ζῶντες μακρὰν τῆς σωφροσύνης ἤτοι ἐν παντίαις ἡδοναῖς ἀποβαίνουσιν ὡς ἐκνενευρισμένοι ἄνανδροι· καὶ ὡς τοιοῦτοι μὴ δυνάμενοι μετὰ τοῦ προσήκοντος θάρρους ἀντεπεξελθεῖν κατὰ τῶν ἀντιπάλων αὐτῶν χρῶνται οὐ σπανίως μέσοις καθ' ὅλα τῇ ἀνατροφῇ αὐτῶν καὶ παιδεύσει συνᾴδουσιν· αὐτοῖς γὰρ ὡς δειλοῖς παρομαρτεῖ κατ' ἀνάγκην τὸ δολερόν [3]· ὅπου γὰρ ἀδυναμία, ὅπου κουφόνοια, ὅπου θρασύτης, ἐκεῖ ἐξάπαντος δειλίᾳ σὺν δόλῳ. Οἱ πολλοὶ καίτοι ἄξεστοι, ἅτε ἐστερημένοι μορφώσεως, οὐ στεροῦνται μέν τοι ἱκανότητός τινος πρὸς τὸ κολακεύειν. Δύνανται δὲ πολλάκις μετασχηματισθῆναι οὕτω τεχνιέντως, ὥστε ἀπατῆσαι καὶ τὸν ἀγχινούστατον. Τὴν ἐπιτηδειότητα δὲ ταύτην πρὸς τὸ κολακεύειν ἐμποιεῖ αὐτοῖς τὸ ἴδιον ἑαυτῶν τέλος [4], ἔμπουσι δὲ πρὸς τοῦτο θητικώτατα καὶ χαμερπέστατα [5]. Εὐεργετηθέντες δ' ἅπαξ ἢ πολλάκις οὐδαμῶς μνημονεύουσι πλέον τούτου [6], ἀλυσιτελὲς γὰρ τό τ' εὐγνωμόνως ἀνταποδιδόναι, ἀνθ' ὧν εὐεργετήθησαν καὶ αὐτὸ τὸ εὐεργετεῖν· διὸ καὶ ἀποφεύγουσι τελέως τοῦτο [7]. Καὶ αὐτὴ ἡ δοκοῦσα τῶν πολλῶν ἐν τῷ φιλεῖν καὶ φιλεῖσθαι φιλοτιμία ἔχει

---

1) Πρβλ. Ρητ. Α. 12. 1372. — 2) Πολ. Ζ. 4. 1319. β 31 - 32. — 3) Πρβλ. Fragm. 624. 1583. α 29. — 4) Ἠθικ. νικ. Θ. 10. 1159. α 12 - 21. — 5) Ἠθικ. Δ. 9. 1125. α 1 - 2. — 6) Ἠθικ. νικ. Ι. 7. 1167. β 27 - 28. — 7) Ἠθικ. νικ. Θ. 10. 1163. β 26 - 27.

ὡς κύριον καὶ ἄμεσον ἐλατήριον πάλιν τὴν ἰδιοτέλειαν καὶ οὐχ αὐτὸ τοῦτο· διὸ ἐπάγεται ὁ Ἀριστοτέλης, «οὐ δι' αὐτὸ ἐοίκασιν αἱρεῖσθαι τὴν τιμὴν ἀλλὰ κατὰ συμβεβηκός· χαίρουσι γὰρ οἱ πολλοὶ ὑπὸ τῶν ἐν ταῖς ἐξουσίαις τιμώμενοι διὰ τὴν ἐλπίδα· οἴονται γὰρ τεύξεσθαι παρ' αὐτῶν, ἄν του δέωνται[1]».

Τὸ κερδαίνειν ἄρα καὶ τὸ ἡδυπαθεῖν κανονίζει καὶ ῥυθμίζει τὰς πράξεις καὶ τὰ αἰσθήματα τῶν πολλῶν· διὰ ταῦτα ὁ νοῦς αὐτῶν καὶ ἡ καρδία προσήλωνται πρὸς μόνα ταῦτα.

Ἀλλ' ἐπειδὰν γοῦν κεκτημένοι ὦσι τὰ περιβόητα πλούτη τοῦ πλουσιωτάτου τῆς ἀρχαιότητος Κροίσου, παύονται χρηματιζόμενοι; ἢ ἐπειδὰν ἀφίκωνται εἰς σαρδαναπάλειον ἡδυπάθειαν, ἀρκοῦνται ἐν τούτῳ; πολλοῦ γε καὶ δεῖ· οἱ πολλοὶ γὰρ ἐν ἀμφοῖν τούτοιν αἰσθάνονται, ἐκκρουσθέντος τοῦ λογισμοῦ, ἄπληστον τὴν τοῦ ἡδέος ὄρεξιν καὶ τὴν τῆς ἐπιθυμίας ἐνέργειαν, κἂν μεγάλαι καὶ σφοδραὶ ὦσιν[2], παρ' αὐτοῖς τό τε κερδαίνειν καὶ ἡδυπαθεῖν ὅρον οὐκ οἶδεν· ἄπειρος ἡ τῆς ἐπιθυμίας φύσις, ἧς πρὸς τὴν ἀναπλήρωσιν, φησὶν ὁ Ἀριστοτέλης, οἱ πολλοὶ ζῶσιν[3].

Ἀλλὰ φεῦ! τίς τῶν πολλῶν λαμβάνει ὑπ' ὄψει οἷον τὸ «τῶν πολλῶν» ἢ μᾶλλον τὸ «τῶν ἀπείρων ἐπιθυμεῖν»; Τίς ποτε αὐτῶν ἔλαβεν ὑπ' ὄψει, ὅτι τὸ πλουτεῖν ἐστιν ἐν τῷ χρῆσθαι μᾶλλον ἢ ἐν τῷ κεκτῆσθαι[4]; Εἴη δ' ἂν πλούσιος μὲν ὁ οἰόμενος ἔχειν τὰ ἀρκοῦντα πρὸς τροφὴν καὶ σκεπάσματα, πένης δ' αὖ πενέστατος μάλιστα, οὗτινος ἡ φιλοχρηματία τοῦ κτήσασθαι ἀρκοῦντα ὅρον οὐκ οἶδεν. Ἡ τοιαύτη δὲ κτῆσις πλὴν τῶν κόπων καὶ μόχθων, ἅπερ προσαπαιτεῖ, προσάπτει, ὡς εἰκός, ἔχουσα τὴν ἐξ ἧς προέρχεται πηγὴν συνήθως ἀμφίβολον, τοῖς περὶ ταύτην σπουδάζουσι καὶ ἐνασχολουμένοις ἀντὶ τιμῆς καὶ δόξης, ὄνειδος καὶ περιφρόνησιν. Ὥστε καὶ αὐτοὶ αὐτῶν οἱ ἱδρῶτες εὐνοούμενοι ὑπὸ τῆς τύχης καθιστῶσιν αὐτοὺς γελοίους, μισητούς, περιφρονητέους καὶ εἴτι ἕτερον τοιοῦτον, ἀλλ' ὅμως οὐδαμῶς οὐδαμοῦ οὐδέποτε καὶ

---

1) Ἠθικ. νικ. Θ. 9. 1159. α 12-21. — 2) Ἠθικ. νικ. Γ. 15. 1119. β. 8-10. — 3) Πολ. Β. 7. 1267. β 3-5. — 4) Ρητ. Α. 5. 1361. α 12-25.

ζηλωτούς. Τίς γὰρ ἂν ἐζήλου τῶν τοιούτων, ὧν ἡ συνείδησις καὶ ἡ κρίσις τετύφλωνται; ὁ βίος αὐτῶν ἔοικε πρὸς νύκτα ἀφεγγῆ καὶ ἀσέληνον. Διὸ καὶ οὐδέποτε ἐγείρεται οὐδ' ἡ ἐλαχίστη περιέργεια ἐκ τῶν πρὸ τῶν ὀφθαλμῶν αὐτῶν τεραστίως ἐκτυλισσομένων ἀκαταλύπτων μυστηρίων, περὶ ἃ ἐνησχολοῦντο διὰ βίου Δημόκριτοι καὶ Ἀριστοτέλεις, καὶ ἀντὶ μιᾶς μόνης γεωμετρικῆς λύσεως ἔχαιρον οἱ περὶ τὸν Πυθαγόραν πολλῷ πλέον ἢ ὁ μέγας βασιλεὺς προστιθεὶς ἔτι μεγάλην τινὰ ἐπαρχίαν τῇ ἀπεράντῳ αὐτοῦ βασιλείᾳ. Οὐδὲ ῥανὶς περιεργείας ἐγείρεται ἐν τῇ ὄντως μικρᾷ αὐτῶν ψυχῇ, ἵνα ἐρωτήσωσιν ἐν ἑαυτοῖς «πόθεν ἔρχονται; ποῖ πορεύονται; τίς ὁ προορισμὸς τοῦ φαινομένου τοῦδε κόσμου ἐν γένει καὶ ἑαυπῶν ἰδίᾳ»; ἐν ᾧ τὸ ἐγὼ ὑπερφυῶς διχασθέν, φιλοσοφεῖ τὸ μὲν ἐντὸς τῆς ἀποκαλύψεως, τὸ δὲ ἐκτὸς αὐτῆς, ἀγωνίζεται ἀμφότερα ἀναπτύσσοντα ὑπὲρ ἄνθρωπον τοῦ διασκεπτικοῦ νοῦ καὶ τοῦ καθαροῦ λόγου δύναμιν καὶ βαίνοντα ἀκατασχέτως πρὸς ἀνακάλυψιν πάντων τῶν αἰτίων καὶ τῶν ἐσχάτων λόγων τῶν ἐν τῷ παγκοσμίῳ τούτῳ θεάτρῳ ἐκπληκτικῶς διαδραματιζομένων, οὐ μὴν ἀλλὰ καὶ αὐτοῦ τοῦ ὄπισθεν τῆς μεγαλοπρεποῦς τῆσδε σκηνῆς ἱσταμένου, καὶ νόμοις οἷς μόνος οἶδε, τὰ σύμπαντα ἀρρήτως διευθύνοντος μεγάλου *Κυβερνήτου*! οἱ πολλοὶ μένουσιν ἀπέναντι πάντων τούτων ὅλως ἀδιάφοροι, ζῶντες νὴ Δία δίκην θρεμμάτων. Οὐαὶ τῇ ἀνθρωπότητι, εἰ τὸ γένος τῶν ἀνθρώπων συνίστατο ἐκ μόνων τοιούτων ὄντων! ὁ βίος, ὃν ὁ μέγας Rousseau ἔν τινι αὐτοῦ συγγράματι συνίστη, ἦν ἂν ἐν τοῖς ῥᾷστος.

Τοῦτο δ' ἐστὶ τοῖς πολλοῖς φοβερὸν ἤτοι ὅτι αὐτοὶ οὐ μόνον ἀφ' ἑαυτῶν οὐ δύνανται εἰς συναίσθησιν καὶ ἐπίγνωσιν ἐλθεῖν, ἀλλὰ καὶ τοὺς πρὸς τοῦτο προτρέποντας λοιδοροῦσι καὶ καταφρονοῦσιν «οἰόμενοι τῶν ἄλλων ὑπερέχειν ἐκείνων μὲν καταφρονοῦσιν, αὐτοὶ δ' ὅτι ἂν τύχωσι πράττωσι» [1].

Ὁ Ἀριστοτέλης ἐν τοῖς ἠθικοῖς νικομαχίοις Κ. 10. 1179. 6 10-18 περιγράφει τοὺς πολλοὺς συντόμως μὲν καὶ σαφῶς ἀλλὰ με-

1) Ἠθικ. νικ. Δ. 8. 1124. 6 1-2.

λαντάτοις χρώμασι. «Τοὺς πολλούς, λέγει, (φαίνονται οἱ λόγοι) ἀδυνατεῖν πρὸς καλοκἀγαθίαν προτρέψασθαι· οὐ γὰρ πεφύκασιν αἰδοῖ πειθαρχεῖν ἀλλὰ φόβῳ, οὐδ' ἀπέχεσθαι τῶν φαύλων διὰ τὸ αἰσχρὸν ἀλλὰ διὰ τὰς τιμωρίας· πάθει γὰρ ζῶντες τὰς οἰκείας ἡδονὰς διώκουσι, καὶ δι' ὧν αὗται ἔσονται, φεύγουσι δὲ τὰς ἀντικειμένας λύπας, τοῦ δὲ καλοῦ καὶ ὡς ἀληθῶς ἡδέος, οὐδ' ἔννοιαν ἔχουσιν, ἄγευστοι ὄντες. Τοὺς δὲ τοιούτους τίς ἂν λόγος μεταρρυθμίσαι; οὐ γὰρ οἷόν τ' ἢ οὐ ῥᾴδιον τὰ ἐκ παλαιοῦ τοῖς ἤθεσι κατειλημμένα λόγῳ μεταστῆσαι.» Καὶ κατωτέρω (β 26—29) «οὐ γὰρ ἂν ἀκούσειε λόγου ἀποτρέποντος, οὐδ' ἂν συνείη ὁ κατὰ πάθος ζῶν· τὸν οὕτως ἔχοντα πῶς οἷόν τε μεταπεῖσαι; ὅλως τ' οὐ δοκεῖ λόγῳ ὑπείκειν τὸ πάθος ἀλλὰ βίᾳ».

Κατὰ τὴν ἀριστοτέλειον οὖν ταύτην· γνώμην ἡ ἠθικὴ αὕτη νόσος τῶν πολλῶν ἐστι μὲν τῇ ἀληθείᾳ δυσίατος ἀλλ' οὐδαμῶς ὅμως ἀνίατος. Διὸ ἠθικός τις ἰατρὸς κεκτημένος ἅπαντα τὰ προσόντα, ἃ ἀπαιτοῦσιν αἱ τοιαῦται βαρεῖαι ἠθικαὶ νόσοι, δύναται πάντως εἰμὴ πάντας, τινὰς τοὐλάχιστον τῶν πολλῶν σῶσαι τοῦ ἐπαπειλοῦντος ἠθικοῦ θανάτου. Πόσους γὰρ οἱ νόμοι, πόσους αἱ κατ' ἰδίαν συνεταὶ παραινέσεις, πόσους αἱ παιδαγωγικαὶ αἱ ὑπὸ τῶν νόμων τῆς πατρίδος ἐπιβαλλόμεναι αὐτοῖς τιμωρίαι; πόσους αἱ μετὰ τῶν ἀγαθῶν ὁμιλίαι καὶ ἀναστροφαί, πόσους οἱ ἠθικολόγοι, πόσους λέγω καὶ πόσους μεταρρυθμίσαντες καὶ πρὸς ἀρετὴν μεταστήσαντες διεμόρφωσαν εἰς ἀγαθούς; ἀναντιρρήτως, πολλούς, πλείστους. Τούτου ἕνεκα προστίθησιν ὁ Ἀριστοτέλης μετὰ τὸ «οὐ γὰρ οἷόν τε» τὸ «ἢ οὐ ῥᾴδιον τὰ ἐκ παλαιοῦ τοῖς ἤθεσι κατειλημμένα λόγῳ μεταστῆσαι [1]. »

1) Ἠθικ. νικ. Κ. 10. 1179. β 16 - 17.

ΔΕΥΤΕΡΟΝ ΜΕΡΟΣ

§ 9.

Οἱ φαῦλοι.

Οὐχ ὑπάρχει, οἶμαι, ἀμφιβολία, ὅτι οἱ ἄνθρωποι ἐδημιουργήθησαν οὕτως, ὥστε, ἢν βούλωνται, δύνασθαι ζῆν σωφρόνως καὶ δικαίως[1]. Ἡ δύναμις δ' αὕτη ἐμπεφύτευται τῇ ἀνθρωπίνῃ φύσει, ἀπαιτεῖται δὲ μόνον ἀνάπτυξις τῆς βουλήσεως τῆς ἐν τῇ δυνάμει ταύτῃ ἐνούσης. Ἡ δύναμις δ' αὕτη ἀναπτύσσεται ὡς ἡ καθ' ἡμέραν πεῖρα διδάσκει συμφώνως πρὸς τὸν ἑκάστου σωματικὸν ὀργανισμόν. Διὰ τοῦτο δὲ παρατηροῦμεν, ὅτι ἔνιοι μὲν ἀναπτύσσονται ῥᾳδίως οἴκοθεν, λαμβάνοντες ἔξωθεν μόνον νύξιν· ἕτεροι δ' ἀναπτύσσονται διδασκόμενοι καὶ παιδαγωγούμενοι· καὶ ἄλλοι προτρεπόμενοι ἢ πολλάκις καὶ βιαζόμενοι[2]. Πρὸς τοῦτο δὲ τείνει πᾶς ὁ ἀγὼν καὶ σπουδὴ τῶν τε νομοθετῶν, τῶν τε παιδαγωγῶν καὶ τῶν θρησκειῶν. Εἰ μὴ οὕτως εἶχεν, οὐκ ἐκέλευον οἱ μέν, οὐδὲ συνεβούλευον οἱ δέ, ἄνευ ἐξαιρέσεως γένους τε καὶ ἡλικίας, ἰσχυροῦ τε καὶ ἀσθενοῦς, εὐγενοῦς τε καὶ δυσγενοῦς, μικροῦ τε καὶ μεγάλου, ἃ χρὴ ποιεῖν· οὐδ' αὖ ἀπηγόρευον, οὐδ' ἀπέτρεπον ἀπ' αὐτῶν, ἃ μὴ χρὴ ποιεῖν[3].

Ὅτι δ' αὖ ἡ ἀρετὴ οὐκ ἔστιν ἀπολύτως ἐπείσακτος, φρονῶ, ὅτι οὐδεὶς ἀμφιβάλλει καὶ δὴ οὐδεὶς ἀμφισβητήσειεν ἂν σπουδαίως. Κεκτημένος οὖν τις τὴν γνωστικὴν ἐκείνην δύναμιν, δι' ἧς ὁ ἄνθρωπος τῶν λοιπῶν ἀλόγων ζῴων διακρίνεται, ἀναντιρρήτως δύναται σωφρόνως καὶ δικαίως ζῆν. Οὐ μὴν ἀλλὰ καὶ ὁ οὐδεμίαν πρὸς τοῦτο ἐπιμέλειαν, οὐδὲ φροντίδα καταβαλών. Τίς γάρ ποτε ἐρωτώμενος, εἰ φρόνιμος τυγχάνει ὤν, ἢ ἄφρων; εἰ σώφρων ἢ ἀκόλαστος; δίκαιος ἢ ἄδικος; ὡμολόγει ἂν ἀποκρινόμενος, ὅτι ἐστὶν ἄ-

---

1) Πρβλ. Ἠθικ. νικ. Β. 1. 1103. α 23 - β 25. — 2) Πρβλ. Φυσιογν. 805 - 809. 3) Πρβλ. Ἠθικ. νικ. Α. 13. 1102. α 5 - 10. Β. 1. 1103. β. 2 - 5. Κ. 10. 1179. β 20 - 21. καὶ 1180. α 4 - 12 κτλ.

φρων καὶ οὐ φρόνιμος, ἀκόλαστος καὶ οὐ σώφρων, ἄδικος καὶ οὐ δίκαιος;[1].

Τούτων οὕτως ἐχόντων, πλήρες δίκαιον ἔχει ὁ μέγας Ἀριστοτέλης ἀποφαινόμενος, ὅτι «οἱ φαῦλοι πάντες κατὰ προαίρεσιν λέγονται, διὸ ἡ μοχθηρία ἑκούσιον[2]».

Οἱ φαῦλοι δουλεύουσιν, ἄρχοντος τοῦ σώματος τῆς ψυχῆς, τοῖς σαρκικοῖς πάθεσιν[3]· εἰς τὸ λυπηρὸν τοῦτο ἀποτέλεσμα περιέγένοντο ὑποπεσόντες πολλάκις ἐκ περιτροπῆς ἐπὶ τὸ αὐτὸ ἁμάρτημα[4]· οὕτω δ' ἐμόρφωσαν ἑτέραν φύσιν, τὴν τῆς συνηθείας, ἣ κέκτηται τηλικαύτην δύναμιν, ὥστε μεταβαλεῖν τινα αὐτὴν τῇ ἀληθείᾳ οὐ ῥᾴδιον. Διὸ κινοῦνται καὶ προβαίνουσιν ἀείποτε ἐπὶ τὸ χεῖρον μηδενὸς ἀναγκαίου μέτρου τυγχάνοντες ἐν ταῖς ἀλόγοις ἀπαιτήσεσι τῆς ἀγρίας αὐτῶν ψυχῆς.

Ἡ φιλία, τὸ θεόσδοτον τοῦτο δῶρον, ἧς ἄνευ οὐδεὶς ἂν ἕλοιτο ζῆν ἔχων τὰ λοιπὰ ἀγαθὰ πάντα, ἐστὶν αὐτοῖς ξένη κατὰ τὴν ἀκριβῆ τῆς λέξεως σημασίαν· εἰκότως δέ· αὐτὴ γὰρ ἐν τοῖς σπουδαίοις μόνοις εὑρίσκεται[5]· διὸ ἐὰν ποτε ἐνδυθῶσι τὴν ἱερὰν αὐτῆς ἐσθῆτα ἤτοι προσποιηθῶσι φιλίαν[6], ῥυπαίνουσιν αὐτὴν διὰ τῆς αἰσχρᾶς κερδοσκοπίας, κολακεύοντες τοὺς πρὸς οὓς προσφέρονται φίλοι[7]. Οὕτω δὲ δίκην κοράκων καταβιβρώσκουσιν ἐν ὀνόματι τῆς ἱερᾶς φιλίας τοὺς ὡς ἀνθρώπους ἐξαπατηθέντας καὶ ὑποπεσόντας ὑπὸ τὴν δολίαν αὐτῶν παγίδα· μετὰ μόνης δὲ τῆς διαφορᾶς, ὅτι οἱ μὲν κόρακες καταβιβρώσκουσι τὰ σώματα νεκρά, αὐτοὶ δὲ ζῶντα· καὶ ἔτι ἐκεῖνοι σώματα ἀγνώστων, συνήθως δὲ καὶ ἐχθρῶν ζῴων, αὐτοὶ δ' ἀνθρώπων φίλων ὑπ' αὐτῶν κληθέντων καὶ οὐκ ὀλιγάκις αὐτοὺς εὐεργετησάντων. Οὕτω δὲ κρύπτουσι καταχθονίως

---

1) Πρβλ. Ρητ. Α. 12. 1376. β 7. Πολ. Α. 13. 1260. α 14. — 2) Πρβλ. Ἠθικ. νικ. Γ. 7. 1113. α 16 - 17. — 3) Πρβλ. Πολ. Α. 5. 1254. α 39 - β 2. — 4) Ἠθ. νικ. Η. 15. 1154. α 31 - 34. Β. 1. 1103. β 14 - 25. — 5) Ἠθικ. νικ. Θ. 1. 1155. α 3 - 10. — 6) Πρβλ. Ἠθικ. νικ. Ι. 4. 1166. β 5 - 7. Θ. 6. 1157. β 1 - 2. Ι. 4. 1166. β 25 - 26. — 7) Πρβλ. Ἠθικ. νικ. Δ. 8. 1125. α 1 - 2. 12. 1127. α 8 - 10.

καταχθονίως ἐν τῇ φαύλῃ αὐτῶν ψυχῇ τὸ ἐπικινδυνωδέστατον δηλητήριον τῆς ἀπιστίας, καθ' ἧς μόνης, ἐξ ἁπασῶν τῶν τὴν τάλαιναν ἀνθρωπότητα λυμαινομένων κακιῶν καὶ φυλακῆς ἐξαποροῦμεν[1]. Ἔχοντες δὲ πρὸ ὀφθαλμῶν μόνον τὴν ἰδιοτέλειαν ζητοῦντες ἐν δεξιᾷ, ἐν ἀριστερᾷ, ἔμπροσθεν, ὄπισθεν, ἐν μιᾷ λέξει πανταχοῦ, ἵνα πραγματοποιήσωσι τὸ βιωτικὸν αὐτῶν πρόγραμμα, ὅπερ ἐστίν, ὅτι ἡ φιλία αὐτῶν ἐστιν ἡ ἡδονὴ ἢ τὸ συμφέρον[2]. Καὶ εἰ δυνατόν, ἀμφότερα ὁμοῦ ταὐτοχρόνως ἐντυγχάνοντες καλοκἀγάθῳ τινὶ ἀπείρῳ τῆς τῶν φαύλων καὶ πονηρῶν μεθόδου καὶ δὴ ὅλως ἀνυπόπτῳ τῶν συνήθων αὐτῶν πλεκτανῶν, ἀσπάζονται αὐτὸν προσποιούμενοι φιλίαν, ἐφαρμόζοντες πᾶν ὅ,τι ἠδύνατ' ἂν ἀφοπλίσαι αὐτὸν κατ' αὐτῶν τελέως[3]. Καὶ οὕτω καταστρέφουσιν αὐτόν τε καὶ τὴν οἰκογένειαν αὐτοῦ καὶ πᾶν ὅ,τι αὐτῷ ἀνήκει. Πάντες δ' οὗτοι οὐδὲν πράττουσι χάριν τῆς ἑαυτῶν πατρίδος, ἢ τῶν συγγενῶν αὐτῶν ἢ τῶν πέλας αὐτῶν· τὸ τοιοῦτον γὰρ κατ' αὐτούς ἐστιν ἀφροσύνη, ἀλλὰ χάριν ἑαυτῶν μόνον. Ὅσῳ δὲ φαυλοτέρα καὶ μοχθηροτέρα ἐστὶν ἡ τάξις αὕτη τῶν τοιούτων ὄντων, τόσῳ αἱ ἠθικαὶ αὐτῶν κακίαι εἰσὶ φαυλότεραι καὶ μοχθηρότεραι[4]. Πάντα τὰ ἄγρια θηρία ἔχουσι μίαν μόνην κακίαν, ἀλλ' οἱ φαῦλοι ἔχουσι πολλὰς συγχρόνως[5]. Αὐτοὶ γάρ εἰσι καὶ ἄδικοι, καὶ ἄσωτοι καὶ ἀκρατεῖς καὶ πονηροὶ καὶ ἀκόλαστοι καὶ ἐπιχαιρέκακοι καὶ φιφιλοκόλακες καὶ ἄφιλοι καὶ εἴτι ἕτερον τοιοῦτον. Ἔχοντες δὲ τοσαύτας καὶ τηλικαύτας κακίας ἥκιστα χαίρουσιν ἐλευθερίας. Ὅσα γὰρ πάθη ἐμφωλεύει τῇ ψυχῇ αὐτῶν, τόσοι ἀπόλυτοι καὶ τυραννικοὶ δεσπόται ἄρχουσιν αὐτῶν. Ἐντεῦθεν δὲ πηγάζει πᾶσα ἀναγκαιότης, ἵνα αἴρηται ἀπὸ τῶν φαύλων πᾶσα δύναμις καὶ πᾶσα ἀρχή[6]. Ἐὰν γὰρ οἱ τοιοῦτοι ἐπὶ τὴν ἀρχὴν ἀνέλθωσιν, ἔχοντες, ὡς

---

1) Πρβλ. Ἠθικ. εὐδ. Η. 2. 1237. β 27 - 29. Ἠθικ. νικ. Δ. 13. 1127. β 15 - 21. Κ. 8. 1178. α 30 - 31. — 2) Ἠθικ. νικ. Θ. 6. 1157. β 1 - 2. Ι. 8. 1168. α 31 - 32. — 3) Πρβλ. Ἠθικ. εὐδ. Η. 2. 1237. β 29 - 30. — 4) Ἠθικ. νικ. Ι. 8. 1168. α 31 - 32. — 5) Ρητ. Α. 10. 1368. β 14 - 24. Ἠθικ. νικ. Δ. 1. 1119. β 31 - 33. — 6) Πολ. Γ. 11. 1282. α 25 - 26.

ἔφθην εἰπών, πρὸ ὀφθαλμῶν μόνον τὸ ἴδιον αὐτῶν συμφέρον, ἐστὶν εὐνόητον, οἷα τις τύχη ἀναμένει τὴν χώραν καὶ τοὺς πολίτας ἐκείνους, οἳ ἐμπιστεύονται ἐξ ἐπιπολαιότητος καὶ ἀσυγγνώστου ἀκυδείας τὰς πολιτικὰς αὐτῶν ἐλευθερίας, ἐξ ὧν ἀμέσως ἐξαρτῶνται καὶ αἱ πνευματικαὶ ἤτοι τῆς συνειδήσεως, τοιούτοις τέρασιν, ἃ ὅσῳ μᾶλλον ἀνάξιά ἐστι τοσούτῳ μᾶλλον ἀλαζόνες γίγνονται καὶ ἀφροσύνης καὶ θράσους ἐμπίπλανται, ἀνερχόμενοι ἐπὶ τὴν ἀρχήν. Ἄλλως τε δὲ ποίους τινὰς ὅρους τηρητέον μεταξὺ τῶν τοιούτων ἀρχάντων, ὧν τὸ σῶμα ἄρχει τῆς ψυχῆς δίκην κτηνῶν[1], καὶ τῶν τοιούτων ἀρχομένων, οἳ ὡς συναισθανόμενοι τὴν ἠθικὴν καὶ διανοητικὴν αὐτῶν ὑπεροχὴν ἀδυνατοῦσι φέρειν ζυγὸν τοιούτων τυράννων· διὰ ταῦτα δ' οἱ τοιοῦτοι ἄρχοντες μὴ δυνάμενοι ἄλλως ποιαύτην ἀντίδρασιν ἀπέναντι ἔχοντες, φέρειν εἰς πέρας τοὺς πονηροὺς αὐτῶν σκοπούς, καὶ πραγματῶσαι τὰ φαῦλα αὐτῶν καὶ καταχθόνια σχέδια, προβαίνουσιν εἰς φοβερὰ πραξικοπήματα, ὅπως ποιήσωνται ἐκ ποδῶν πᾶσαν τοιαύτην ἀντιπολίτευσιν ἐκμηδενίζουσαν ἢ κωλύουσαν τὴν ἐλευθέραν αὐτῶν ἐνέργειαν. Ὥστε τοὺς μὲν χρηστοὺς κἀγαθοὺς ἀτιμάζουσι καὶ χρήματα ἀφαιροῦνται, καὶ ἐξελαύνουσι καὶ ἀποκτείνουσι, τοὺς δὲ φαύλους καὶ πονηροὺς ἐνστερνίζονται καὶ περιθάλπουσιν· ἀλλὰ τὰ τοιαῦτα πραξικοπήματα οὐκ ἔστιν ἀκίνδυνα. Λαμβάνει γὰρ οὐ σπανιάκις χώραν πλεῖστα δυσάρεστα καὶ πολλῶν θρήνων καὶ δακρύων ἄξια· προκαλοῦνται γὰρ στάσεις καὶ ἐμφύλιοι πόλεμοι συντρίβοντες ἀμφότερα τὰ μέρη[2]. Στάσις τ' ἐμφύλιός ἐστι κακὸν ἀμφοτέροις· γίγνεται γὰρ ὁμοία καταστροφὴ τοῖς τε νικῶσι καὶ τοῖς ἡττωμένοις. Τούτου ἕνεκεν θεωρεῖ ὁ Ἀριστοτέλης ὡς ὅλως ἄτοπον[3] τὸ εἶναι τοὺς φαύλους κυρίους τῶν εὐγενῶν καὶ τῶν ἀγαθῶν καὶ ἐπιεικῶν. Αὐτὸς γὰρ ὡς ἄριστος γνώστης ἐγίνωσκε κάλλιστα, ὅτι πονηραὶ καὶ φαῦλαι φύσεις λαβόμεναι μεγάλων ἐξουσιῶν ἀπεργάζονται μεγάλας συμφοράς. Διὸ ἐπάγεται ὀρθῶς «οὐκ ἀσφαλὲς τοὺς μοχθηροὺς ποιεῖν κυρίους· αὐτοὶ

---

1) Πολ. Α. 5. 1254. α 39 - 6 2. — 2) Πρβλ. Πολ. Ε. 2. 1302. — 3) Πολ. Γ. 11. 1282. α 25 - 26.

γὰρ δέονται φυλακῆς μᾶλλον ἢ ἄλλους φυλάττειν[1]. Πρὸς δὲ εἰ οἱ φαῦλοι, οἷα δὴ τοσούτοις καὶ τηλικούτοις δεσπόταις ὅ ἐστι τοῖς βιαίοις αὐτῶν, ὡς εἴρηται, πάθεσι δουλεύοντες, οὐ δύνανται διευθετεῖν εὐκόσμως καὶ εὐπρεπῶς τὰ ἴδια αὐτῶν συμφέροντα, τοὺς ἰδίους αὐτῶν οἴκους, παντί που δῆλον, ὅτι ἀδυνατοῦσι πολλῷ μᾶλλον κυβερνᾶν πολιτείας καὶ λαούς, ἔνθα ἀπαιτεῖται δαιμονία διάνοια, οὐ κοινὴ μόρφωσις, ἤθη χρηστά[2]. Ἀλλὰ φεῦ ἀπὸ τῶν ἀρχαιοτάτων χρόνων μέχρι τῶν ἡμερῶν ἡμῶν παλαίουσιν αἱ δύο δυάδες ἀδιαλείπτως μετ' ἀλλήλων, τίς ἐπικρατῆσαι τῆς ἑτέρας· ἀλλ' οἱ μὲν εὐγενεῖς καὶ οἱ σώφρονες καὶ οἱ δίκαιοι καὶ οἱ καλοὶ κἀγαθοὶ ἀντὶ τοῦ ἄρχειν, ὡς ἐμπρέπει αὐτοῖς καὶ τοῦ εἶναι κύριοι πάντων, ἵνα ἐξασφαλίζωσι τὴν εὐδαιμονίαν τῶν φιλησύχων καὶ φιλονόμων τῶν πολιτῶν κατὰ τῶν φαύλων, καταγελῶνται καὶ ἐμπαίζονται, οἱ δὲ φαῦλοι καὶ πονηροὶ κἀκ φαύλων καὶ πονηρῶν κατέχουσιν ἡγεμονικούς τε καὶ κυβερνητικοὺς θρόνους πρὸς ἐμπαιγμὸν καὶ ἐξουδένωσιν τοῦ καθαροῦ λόγου καὶ πρὸς κοινὴν κακοδαιμονίαν τῶν λαῶν. Καὶ ναὶ μὲν οἱ νόμοι ἀντιπροσωπεύοντες τὴν ἐπὶ γῆς ἐκ τοῦ καθαροῦ λόγου ἀπορρέουσαν δικαιοσύνην ὀφείλουσι προστατεύειν τῶν ἠδικημένων ἄνευ διακρίσεως ἀμεροληπτως· καὶ δύνανται τοῦτο ποιῆσαι, ἅτε ἀπὸ πολλοῦ συντεταγμένοι, προτιθέμενοι τὴν εὐεργεσίαν τῶν ἀνθρώπων[3], ἀλλὰ δυστυχῶς οὐ δύνανται πάντοτε δεικνύναι τὴν ἀρετὴν καὶ δύναμιν αὐτῶν, εἰ μὴ μόνον, ὁπότε οἱ μὲν πολῖται πείθονται προθύμως τε καὶ ἀγογγύστως αὐτοῖς, οἱ δ' ἄρχοντες ἐφαρμόζουσιν αὐτοὺς ὀρθῶς καὶ δικαίως καὶ ἀφατριάστως[4].

Εἰδότων δὲ τῶν φαύλων καὶ τῶν τοιούτων τὴν μηδαμινὴν αὐτῶν προσωπικότητα, κατεξανίσταται ἡ ψυχὴ αὐτῶν, βλέπουσα, οἷα καὶ ἡλίκα ἀγαθὰ περικοσμεῖ τὴν πρώτην δυάδα· ἀναλογιζόμενοι δ' ἔτι, ὅτι ἠδύναντο καὶ αὗται, εἰ ἐκράτουν ἑαυτοὺς καὶ μὴ

---

1) Πολ. Ζ. 8. 1322. α 24 - 26. — 2) Πρβλ. Ἠθικ. μεγαλ. Α. 1. 1181. β 24 - 25. — 3) Πρβλ. Πολ. Γ. 16. 1287. α 28 - 32 καὶ β 3 - 8. — 4) Πρβλ. Δ. 8. 1224. α 3 - 7.

ἠκολάσταινον, εἰ ἐνεκρατεύοντο καὶ μὴ ἠσωτεύοντο, εἶναι ἐν τῇ αὐτῇ ζηλωτῇ θέσει, ἐγείρεται ἐν τῇ ψυχῇ αὐτῶν αἴσθημά τι ἰσχυρὸν μέλανος καὶ δυσειδοῦς φθόνου [1], ὅπερ οὐδὲν ἄλλο κατεργάζεται ἢ λυμαίνεται τοὺς κεκτημένους αὐτὰ, ἅτε διὰ παντὸς συνὸν αὐτοῖς. Τὸ πάθος τοῦτό ἐστι τὸ ἀδικώτατον, διότι τοῖς μὲν κακοῖς χαίρει, τοῖς δ' ἀγαθοῖς ἀλγύνεται· ἔστι δὲ καὶ ἓν τῶν μεγίστων αἰτίων, δι' ἃ στασιάζει αὐτῶν ἡ ψυχὴ, ἀλγεῖ, ἕλκεται δεῦρο κἀκεῖσε, καὶ εἰς μυρία τεμάχια διασπᾶται. Τὸ πάθος αὐτό, ἅτε ἀεὶ αὐτοῖς συνόν, διαφθείρει αὐτῶν τὴν διάνοιαν καὶ καθίστησιν αὐτοὺς ἀντιφατικοὺς, δυστυχεῖς, ἐλεεινοὺς, καὶ ἐπὶ τέλους κατασυντρίβον τὸ ὑπὸ τῶν ἐνόχων ἡδονῶν καὶ ἄλλων βιαίων παθῶν καταστρέφει αὐτοὺς εἰς τὸ παντελές [2]· ἀδύνατον γὰρ αὐτοὺς ἀντιστῆναι μέχρι τέλους, συνόντος αὐτοῖς τοιούτου θηρίου διὰ παντὸς, ὅπερ καταβιβρώσκει αὐτοὺς καὶ δίκην φθίσεως κατατήκει, ὄντες αὐτοὶ ἑαυτοῖς ἄσπονδοι πολέμιοι, συνεχόμενοι τοιαύταις καὶ τηλικαύταις λύπαις [3].

Ἀλλ' ἐρωτῴη ἄν τις, πῶς οἱ τοιοῦτοι ἄνθρωποι οὐ κέκτηνται οὐδεμίαν ἀρετὴν, οὐδὲν χρηστὸν ἐν ἑαυτοῖς ἔχουσιν; ἔστι δυνατὸν ὑπάρξαι λογικὸν ὄν, μὴ ἔχον οὐδὲν καλὸν, οὐδὲν ἀγαθόν; ἀμέλει τὸ ζήτημα τοῦτο οὐκ ἐπιδέχεται ἀπόλυτον ἀπόφασιν· οἱ φαῦλοι καὶ πονηροὶ δύνανται ἔχειν οὐχ ἓν ἀλλὰ πολλὰ τὰ χρηστὰ καὶ τἀγαθά [4]· τί δύναται αὐτοῖς τὸ τοιοῦτον πορίσαι; ὁ ἄνθρωπος, ὡς ἐλέχθη, ὡς νοῦν καὶ λόγον ἔχων κέκτηται τὰ σπέρματα τῶν ἠθικῶν καὶ τῶν διανοητικῶν ἀρετῶν, ἃ χρῄζει μόνον ἀναπτύξεως, οὐδεὶς δ' ἐμβριθῶς σκεπτόμενος ἀρνήσαι-τ' ἂν τὸ τοιοῦτον. Οὐκοῦν ὁ ἄνθρωπος οἱαδήποτε δυάδι ἂν ἀνήκῃ φέρει ἐν ἑαυτῷ ὡς ἄνθρωπος τὰ σπέρματα ταῦτα. Ἀλλ' οἱ μὲν τῆς πρώτης δυάδος ἀναπτύσσουσιν αὐτὰ πάνυ ἐπιμελῶς, οἱ δὲ τῆς δευτέρας ἥκιστα

---

1) Πρβλ. Ρητ. Β. 9. 1386. β 34 - 1387 - α 3. Ἠθικ. νικ. Β. 7. 1108. β 4 - 6. Ἠθ. εὐδ. Γ. 7. 1233. β 19 - 22. — 2) Πρβλ. Ἠθικ. νικ. Ι. 4. 1166. β 11 - 25. Θ. 10. 1159. β 7 - 12. — 3) Πρβλ. Ἠθικ. νικ. Ι. 4. 1166. β 11 - 26. — 4) Πρβλ. Ἠθικ. νικ. Κ. 2. 1173. α 4 - 5.

περὶ τούτου φροντίζουσιν· εἰ καὶ ταῦτα πολλάκις ἀφ' ἑαυτῶν ἀναπτύσσεται καὶ ἐξελύσσεται· διὸ καὶ προκύπτει μεταξὺ τῶν δύο δυάδων οἱονεὶ σύγχυσίς τις ὑπὸ τῶν ἐπιπολαίως ἐξεταζόντων· ἐάν τις ὅμως βαθύτερον καὶ ἐπιμελέστερον ἐπισκέψηται τὰς πράξεις ἀμφοτέρων τῶν δυάδων, διακρίνει διὰ τοῦ λογικοῦ καὶ ψυχολογικοῦ μικροσκοπίου, τὴν οὐσιώδη διαφορὰν, τὴν ἐνυπάρχουσαν ταύταις· ὄψεται ἐναργῶς, ὅτι τὰ ἠθικὰ καὶ διανοητικὰ τῆς ἀρετῆς σπέρματα, ἐκείνων μὲν διαχέονται ὑπὸ γνώμης καὶ βουλήσεως καὶ προαιρέσεως χρηστῆς κἀγαθῆς, τούτων δὲ ὑπὸ γνώμης καὶ βουλήσεως καὶ προαιρέσεως φαύλης καὶ πονηρᾶς[1]. Οἱ φαῦλοι δ' εἰσὶν ἔτι ἀκρατεῖς καὶ εἰς ἀκολασίαν δαπανηροί, ὅθεν καὶ ἄσωτοι, διὸ καὶ δοκοῦσι φαυλότατοι εἶναι, πολλὰς γὰρ κακίας, ὡς εἴρηται, ἔχουσιν[2]. Διὰ ταῦτα δ' οὗτοι εἰ καὶ πάνυ εὐμετάβολοι[3], ὁ γὰρ μοχθηρὸς οὐχ' εἷς ἀλλὰ πολλοὶ καὶ τῆς αὐτῆς ἡμέρας ἕτερος καὶ ἔμπληκτος[4], ὅμως ἐμμένουσι τῇ φαύλῃ αὐτῶν προαιρέσει[5], διὸ οὐδέποτε οἷοί τ' εἰσὶν ὁριστικῶς ἀποφασίσαι ἀποπτύσαι τὸν κατάπτυστον αὐτῶν βίον καὶ τρόπους, ἐγκαταλείποντες τὴν φαύλην καὶ πονηρὰν αὐτῶν ὁδόν, γέμουσαν ἠθικῶν ἀκανθῶν καὶ διανοητικῶν τριβόλων· τοιαύτη δέ τις ἀπόφασις ἀπήτει ἂν πολλοὺς τοὺς μόχθους καὶ τοὺς ἱδρῶτας, πρὸς ἅπερ οὗτοι οὔτε τὴν δύναμιν ἀντιμετωπίσαι ἔχουσιν, οὐδὲ θέλουσι πρὸς τοῦτο τὴν βούλησιν αὐτῶν ἐκβιάσαι· εἰκότως δέ· πῶς γὰρ δύναιτ' ἂν ἄνθρωπος τῆς αὐτῆς ἡμέρας πολλάκις μεταπίπτων, οἷος ὁ φαῦλος, ἀγαγεῖν ἀπόφασίν τινα εἰς αἴσιον πέρας, ἀπαιτοῦσαν θέλησιν σιδηρᾶν, καὶ ὑπομονὴν ἰώβειον[6]· πῶς δὲ δύναιτ' ἂν ὁ τοιοῦτος ἐκβιάσαι καὶ καταναγκάσαι τὴν ἑαυτοῦ θέλησιν μὴ ὢν ἐκ τῶν προτέρων πε-

---

1) Πρβλ. Ἠθικ. νικ. Γ. 4. 1111. β 4 - 6 5. 1113. α. 9 - 12. Ζ. 2. 1139. β 4 - 5. Γ. 4. 1112. α 15 - 16. — 2) Ἠθικ. νικ. Δ. 1. 1119. β 31 - 33. — 3) Ἠθικ. νικ. Η. 15. 1154. β 29 - 30. — 4) Ἠθικ. εὐδ. Η. 6. 1240. β 16 - 27. — 5) Ἠθικ. νικ. Η. 9. 1150. β 29 — 30. — 6) Πρβλ. Ἠθικ. νικ. Ι. 8. 1169. α 11 - 16.

πεισμένως περὶ τῆς ὀρθότητος αὐτῆς, οἷα ἀγνοῶν, ἃ δεῖ πράττειν καὶ ὧν ἀπέχεσθαι δεῖ[1];

Οἱ φαῦλοι δ' ἔχοντες τὴν συνείδησιν αὐτῶν τεταραγμένην καὶ τὴν διάνοιαν, οἷα πολλῶν καὶ δυσχερῶν ἀναμιμνησκόμενοι οὐδεμίαν ἡδονὴν ἐν ἑαυτοῖς αἰσθάνονται[2]· ἀληθὴς γὰρ ἡδονή ἐστιν, ἡ κέκραται συνέσει καὶ χρηστότητι καὶ οὐκ ἐκείνη, ἡ πηγάζει ἐκ τῆς ἀκολασίας καὶ ἀκρασίας, δυναμένη πάνυ προσφόρως κτηνώδης καὶ ἀνδραποδώδης κληθῆναι ὡς ἐξακουσμένη παρὰ τοῖς διεφθαρμένοις[3].

Οἱ φαῦλοι ἀγνοοῦσι τί ἐστι κυρίως τἀληθὲς αὐτῶν συμφέρον· ἐντεῦθεν καὶ ἡ ἐν τῇ τεθολωμένῃ αὐτῶν συνειδήσει διαφωνία[4]· ἀλλ' ἄνθρωποι, οἳ οὐδὲ πρὸς σφᾶς αὐτοὺς ὅμοιοι διαμένουσιν οὐκ ἔστι τὸ παράπαν ῥᾴδιον ἄλλοις συμφωνῆσαι[5]· διὸ οὐδέποτε οἱ φαῦλοι καὶ οἱ πονηροὶ ὁμονοοῦσι πρὸς τοὺς ἄλλους· εἴποτε δὲ ὁμονοήσουσι τοῦτό ἐστι πρόσκαιρον καὶ ἐπὶ μικρόν[6].

Οἱ φαῦλοι ἔνθεν μὲν ἕνεκεν τῆς ἀγνοίας αὐτῶν ἐν τῇ συλλήψει, κρίσει, ἀποφάσει, καὶ ἐκτελέσει τοῦ ἀληθοῦς αὐτῶν συμφέροντος, ἑτέρωθεν δ' ἕνεκεν διαφωνίας πρὸς ἑαυτούς, βλάπτουσιν οὐ μόνον τοὺς πέλας ἀλλ' ἑαυτοὺς πρώτους[7]· ὑπὸ τὴν ἔννοιαν δὲ ταύτην λέγει ὁ Ἀριστοτέλης, ὅτι οἱ φαῦλοι οὐκ εἰσι φίλαυτοι· πῶς γὰρ ἄλλως οὐκ εἰσι φίλαυτοι οἱ πράττοντες τὰ πάντα χάριν ἑαυτῶν; οἱ γιγνόμενοι φίλοι μόνον δι' ἡδονὴν καὶ τὸ χρήσιμον. Ἀδιαφιλονεικήτως οἱ φαῦλοι καὶ οἱ τούτοις παραπλήσιοί εἰσι φίλαυτοι εἰς τὸν ὕπατον βαθμόν, εἰσὶν ἐγωϊσταὶ καὶ πράξει καὶ προαιρέσει, ἡ πεῖρα ἐπιβεβαιοῖ τοῦτο τρανῶς, ἀλλ' οὐ κατ' ἐπίγνωσιν[8]. Τὸ φαῦλον γὰρ καὶ μοχθηρὸν αὐτῶν ὑπερακοντίζει τὴν ἀσθενῆ καὶ διεφθαρ-

1) Πρβλ. Ἠθικ. νικ. Γ. 2. 1110. β 28 - 30. — 2) Πρβλ. Ἠθικ. νικ. Ι. 4. 1166. β 11 - 25. — 3) Ἠθικ. νικ. Κ. 5. 1176. α 22 - 24. — 4) Ἠθικ. νικ. Ι. 8. 1169. α 11 - 16. — 5) Ἠθικ. νικ. Θ. 10. 1159. β 7 - 10. — 6) Ἠθ. νικ. Ι. 6. 1167. β 9 - 16. — 7) Ἠθικ. νικ. Ε. 3. 1130. β 5 - 6. — 8) Πρβλ. Ἠθικ. νικ. Θ. 6. 1157. β 1 - 3. 6. 1157. α 19 - 20. Ι. 8. 1168. α 31 - 32.

μένην βούλησιν πέραν τῶν ἐσκαμμένων καὶ οὕτω βλάπτουσιν οὐ μόνον τοὺς πλησίον ἀλλ', ὡς ἔφθην εἰπών, καὶ σφᾶς αὐτούς.

Οἱ φαῦλοι ἐκτροχιασθέντες ἅπαξ τῆς ἠθικῆς ὁδοῦ ἄγονται ἀκατασχέτως κατ' ἠθικῶν κρημνῶν· βαίνουσι στερρῷ τῷ ποδὶ διὰ τῆς πλατείας καὶ εὐρυχώρου ὁδοῦ τῆς ἀγούσης εἰς τὴν ἀπώλειαν, εἰς ἣν καὶ δι' ἣν ἑκουσίᾳ βουλῇ καὶ προαιρέσει προωρίκασιν ἑαυτούς. Κατὰ τὴν ὁδὸν δὲ ταύτην ἀναπτύσσονται αἱ ἀναμὶξ μετὰ τῶν ἠθικῶν καὶ τῶν διανοητικῶν ἀρετῶν κείμεναι ἠθικαὶ καὶ διανοητικαὶ κακίαι, καὶ οὕτως ἀποβαίνουσι φαυλότατοι καὶ πονηρότατοι καὶ μοχθηρότατοι καὶ ἀκολαστότατοι [1].

Ἐκ τῆς μερίδος δὲ ταύτης πρὸς ταῖς ἄλλαις ἀναφαίνονται κἀκεῖνα τ' ἀνθρωπόμορφα τέρατα, τὰ πληροῦντα τὴν γαστέρα αὐτῶν δίκην χοίρων [2]. Καὶ οὕτω διὰ τῆς τοιᾶσδε τοῦ σώματος πιάνσεως καθίστησι τὴν ψυχὴν αὐτῶν ἀδρανῆ καὶ ἄτονον πρὸς τὰς πνευματικὰς αὐτῆς ἐνεργείας. Κοιμιζομένου δ' οὖν οὕτω τοῦ καλλίστου τῆς ψυχῆς ἤτοι τοῦ λογισμοῦ, μεθίστανται οἱ φαῦλοι εἰς κτηνώδη νὴ Δία κατάστασιν διατελοῦντες δ' οὕτως ἐν τῇ τοιαύτῃ κυριολεκτικῇ ἀποκτηνώσει [3], ἐπιλανθάνονται τῆς τε θέσεως αὐτῶν καὶ τῆς ἀπέναντι τῶν ἑαυτῶν πέλας ἠθικῆς καὶ κοινωνικῆς σχέσεως· καὶ οὕτως οὐ σπανιάκις θραύουσι φεῦ καὶ βεβηλοῦσι μετὰ τῆς αἰσχίστης τόλμης [4], ἱεροὺς συζυγικοὺς δεσμούς, τρυφῶντες δ' οὕτως ἀσυνειδήτως ἐν ταῖς τῶν πέλας ἀτυχίαις [5].

Τοιοῦτοι δὲ καὶ τηλικοῦτοι οἱ φαῦλοι καὶ οἱ πονηροὶ ὄντες οὐκ εἰσιν ἄξιοι οὐδὲ τῆς ἐλαχίστης συγγνώμης [6]· ἐπειδὴ οὐδὲ τῆς ἀνάγκης αὐτῆς τὸ παράπαν οἱ τοιοῦτοι ἀναίσθητοι αἰσθάνονται· εἰ γὰρ ἐπ' ἐλάχιστον συνῃσθάνοντο ἀπείχοντ' ἂν παντὸς τὴν τῶν ἀγαθῶν καὶ ἐπιεικῶν καὶ ἐν γένει τῆς ὑγιοῦς μερίδος τῆς κοινωνίας βδελυγμίαν προκαλοῦντος, καὶ τερατωδῶς τὴν λογικὴν εἰκόνα,

---

1) Ἠθικ. νικ. I. 8. 1168, α 31 - 33. — 2) Πρβλ. Ἠθικ. νικ. Γ. 13. 1118. β 19 - 27. — 3) Ἠθικ. εὐδ. Β. 3. 1221. β 15 - 21. — 4) Πρβλ. Ἠθικ. νικ. Γ. 11. 1117. α 1 - 2. — 5) Πρβλ. Ἠθ. νικ. εὐδ. Β. 3. 1221. β 20 - 24. Fragm. 551. 1569. α 25. — 6) Πρβλ. Ἠθικ. νικ. Η. 3. 1146. α 2 - 3.

ἣν ὁ ἐγωϊσμὸς οὐδαμῶς ᾤκτησε θεοποιῆσαι, ἀσχηματίζοντος.

Οὐκοῦν μηδεμία συγγνώμη διδόσθω τῇ φαύλῃ καὶ πονηρᾷ ταύτῃ μερίδι· πατασσέσθω δ' ἡ φοβερὰ καὶ ἀγρία τῆς ἀνθρωπότητος αὕτη μάστιξ ἄνευ ἐλέου καὶ οἰκτιρμοῦ. Τὰ ὄντα ταῦτα, ἃ τρυφᾷ παντοιοτρόπως ἐν ταῖς ἀτυχίαις τῶν πλησίον αὐτῶν, μηδέποτε ἀξιωθήτω μηδὲ τῆς ἐλαχίστης συμπαθείας τῆς λοιπῆς ἀνθρωπότητος· ἄλλως γὰρ βράδιον ἢ τάχιον ἀποτίσει ταύτην δι' ὅ,τι ἔχει ἱερώτερον καὶ πολυτιμότερον, ὅτε πᾶσα μεταμέλεια ἔσται πλέον ματαία!

ΤΜΗΜΑ II.

ΔΙΑΦΟΡΑΙ ΙΔΙΑΙΤΕΡΩΝ ΤΑΞΕΩΝ

Α΄.

ΗΘΙΚΑΙ ΚΑΙ ΔΙΑΝΟΗΤΙΚΑΙ ΙΔΙΟΤΗΤΕΣ ΤΩΝ ΤΡΙΩΝ ΤΗΣ ΗΛΙΚΙΑΣ ΒΑΘΜΙΔΩΝ

ἤτοι

τῆς νεανικῆς, τῆς πρεσβυτικῆς καὶ τῆς ἀνδρικῆς.

§ 10.

Νεανικὴ ἡλικία.

Ὁ Ἀριστοτέλης συνῳδὰ ταῖς ἀρχαῖς αὐτοῦ διδάσκει, ὅτι «οὐχ ἱκανὸν δ' ἴσως νέους ὄντας τροφῆς καὶ ἐπιμελείας τυχεῖν ὀρθῆς· ἀλλὰ ἐπειδὴ καὶ ἀνδρωθέντας δεῖ ἐπιτηδεύειν αὐτὰ καὶ ἐθίζεσθαι, καὶ περὶ ταῦτα δεοίμεθ' ἂν νόμων, καὶ ὅλως δὴ περὶ πάντα τὸν βίον»[1]. Ἐκ τοῦ χωρίου τούτου φαίνεται ἐναργῶς ἡλίκην σημασίαν δίδωσιν ὁ μέγας οὗτος φιλόσοφος τῇ ἐπιμεμελημένῃ καὶ ὀρθῇ ἀγωγῇ καὶ τῷ ἔθει, ὅπερ διὰ μόνων τῶν νόμων δύναται ἐπιβληθῆναι· καίπερ γινώσκων, ὅτι τὸ οὕτως ἢ οὕτως εὐθὺς ἐκ νέων ἐθίζεσθαι οὐ μικρὸν διαφέρει, ἀλλὰ πάμπολυ, μᾶλλον δὲ τὸ πᾶν[2], οὐ θεωρεῖ τοῦτο ὅλως ἐπαρκές· διὸ ἐπικαλεῖται τὴν ἀνάγκην νόμων, δι' ὧν

---

1) Ἠθικ. νικ. Κ. 10. 1180. α 1 - 4. — 2) Ἠθικ. νικ. Β. 1. 1103. 6 23 - 25.

ἐπιτείνετ' ἂν τὸ διὰ τοῦ ἔθους καὶ τῆς ἐπιμεμελημένης καὶ ὀρθῆς ἀγωγῆς κτηθὲν εὐάρεστον ἀποτέλεσμα περὶ πάντα τὸν βίον. Τοῦτο δὲ τὸ δεύτερον ἀποβαίνει πολλοῦ ἄξιον, ἐὰν τὸ πρῶτον ἐφαρμοσθῇ λίαν ἐπιμελῶς, καὶ ὀρθῶς, ἄλλως δ' ἀποβαίνει ὅλως ἄκαρπον καὶ ἀνωφελές. Χρὴ οὖν τοὺς νέους ἐν ἡλικίᾳ, καθ' ἣν αἱ ἠθικαὶ καὶ διανοητικαὶ ἀρεταὶ καὶ κακίαι εὑρίσκονται μόνον δυνάμει[1], οἰακισθῆναι ἐγκαίρως καὶ καταλλήλως τοῖν δυοῖν ἐκείνοιν ἐλατηρίοιν ἤτοι τῇ ἡδονῇ καὶ τῇ λύπῃ, ἃ δοκεῖ συνῳκειῶσθαι τῷ γένει ἡμῶν[2] καὶ δι' ὧν κανονίζεται καὶ ῥυθμίζεται πᾶσα ἡμῶν πρᾶξις. Ἐν τῇ ἡλικίᾳ ταύτῃ χρὴ τοὺς νέους βιάζεσθαι, ἐὰν μὴ τὰ ἠπιώτερα μέσα, οἷον ὁ λόγος καὶ ἡ προτροπή, ἰσχύῃ[3], διότι οὐδὲν ἀνήδυντον διὰ τὴν ἡλικίαν ἑκόντες οἱ νέοι ὑπομένουσιν[4]. Ἐν τῇ ἡλικίᾳ ταύτῃ ἐντεθρόνισται μόνον τὸ πάθος, ὁ δὲ λόγος ἀπέρριπται ἐκεῖθεν βιαίως· διὸ αἱ πράξεις τῶν νέων διευθυνόμεναι μόνον ὑπὸ τοῦ πάθους, ἅτε μὴ λαμβανομένου τὸ παράπαν τοῦ λόγου ὑπ' ὄψει, εἰσὶν ἄλογοι καὶ κοῦφοι· ἐντεῦθεν ὑπαγορεύεται ἡ ἀπόλυτος ἀνάγκη τοῦ ποιεῖν πάντα τὰ φαῦλα ξένα τοῖς νέοις, μάλιστα δ' αὐτῶν ὅσα ἔχει ἢ μοχθηρίαν ἢ δυσμένειαν[5]. Μακρὰν τοίνυν τῶν νέων πᾶν ὅ,τι δύναται παραβλάψαι τὴν καλὴν καὶ ὀρθὴν διεύθυνσιν τῶν παθῶν αὐτῶν, τὴν κτηθεῖσαν διὰ τῆς ὀρθῆς καὶ ἐπιμεμελημένης ἀνατροφῆς καὶ παιδεύσεως· μακρὰν ἐν ὅσῳ ἡ φρόνησις, ἡ μήτηρ αὕτη πάσης ἠθικῆς πράξεως, οὐκ ἔκρουσε τὴν θύραν αὐτῶν· οἱ γὰρ νέοι οὐ μόνον δοκοῦσιν ἀλλὰ καὶ ὄντως οὐκ εἰσὶ φρόνιμοι[6], οἷα μὴ κτησάμενοι ἐκ τῶν ὑστέρων τὰς πρὸς τοῦτο ἀναγκαίας γνώσεις. Εἰ γὰρ αἱ γνώσεις κτῶνται ἐκ τῶν ὑστέρων, καὶ κτῶνται, οἱ νέοι οὐκ ἔχουσι τοσαύτας γνώσεις, αἳ ἐπαρκοῦσι, συνδυασθέντος τοῦ ἐνεστῶτος μετὰ τοῦ παρεληλυθότος καὶ μέλλοντος πρὸς ἐξαγωγὴν τοσούτων καὶ τοιούτων συμπερασμάτων, ἃ κατέστησεν ἂν αὐτοὺς φρονίμους· μόνη οὖν ἡ ἐμπειρία ποιεῖ τὴν φρό-

---

1) Περὶ τὰ ζῶα ἱστ. Θ. 1. 588. β 1. — 2) Ἠθικ. νικ. Κ. 1. 1172. α 19-21. — 3) Πολ. Η. 17. 1336. β 2-23. — 4) Πολ. Θ. 5. 1340. β 15-16. — 5) Πολ. Η. 17. 1336. β 33-35. — 6) Ἠθικ. νικ. Ζ. 9. 1142. α 13.

νηται, τὴν δ' ἐμπειρίαν ποιεῖ πλῆθος χρόνου[1], ὅπερ αὐτοὶ φυσικῶς οὔπω ἐσχήκασιν. Οἱ νέοι μηχανικῶς οἱονεὶ δύνανται γενέσθαι καὶ γεωμετρικοὶ καὶ μαθηματικοί, ἀλλ' οὐδέποτε σοφοὶ ἢ φυσικοί· εἰκότως δέ· αἱ μὲν γὰρ γεωμετρικαὶ καὶ μαθηματικαὶ γνώσεις εἰσὶ δι' ἀφαιρέσεως, αἱ δὲ φιλοσοφικαὶ καὶ φυσικαὶ ἐξ ἐμπειρίας[2]. Ὅθεν, ἐπειδὴ οἱ νέοι ἔνθεν μὲν στεροῦνται τῆς διὰ τῆς ἐμπειρίας κτωμένης φρονήσεως, ἑτέρωθεν δὲ διάκεινται ὡς οἰνωμένοι διὰ τὴν αὔξησιν[3], ἀπαιτεῖται μεγίστη προσοχὴ καὶ μεγίστη ἐπιμέλεια ἐν τῇ ἀναπτύξει τῶν ἠθικῶν καὶ τῶν διανοητικῶν ἀρετῶν ἐν τῇ ὀρθῇ διαθέσει καὶ διευθύνσει τῶν παθῶν, ἐν τῇ χρηστῇ διαπλάσει, ῥυθμίσει, καὶ κανονίσει τῶν ἠθῶν αὐτῶν. Τὰ πάντα γὰρ ἀναπτύσσεται, ἐμφανίζεται καὶ ἐξαφανίζεται ἐν αὐτοῖς δίκην ἀστραπῆς.

Τὸ πάθος δὲ τὸ κρατοῦν ἐν τῇ ἡλικίᾳ ταύτῃ ἐστὶ τὸ τοῦ ἔρωτος· ἡ ἀστασία δ' αὐτῶν ἐν τούτῳ φθάνει εἰς τὸ μὴ περαιτέρω· ἐκεῖ ἀγαπῶσι καὶ μετ' ὀλίγον παύονται, ἀλλὰ καὶ αὖθις ἀγαπῶσιν, ἀλλὰ καὶ πάλιν παύονται. Ἐπαναλαμβάνεται δὲ τὸ τοιοῦτον πολλάκις τῆς αὐτῆς ἡμέρας μέχρι νὴ Δία τοῦ γελοίου, μεταπιπτόντων ἀπὸ τοῦ μὲν εἰς τὸ δὲ μηχανικῶς οἱονεὶ καὶ ἄνευ συνειδήσεως[4]. Πάντα δὲ ταῦτα μαρτυρεῖ μὲν τὸ ἄστατον ἀλλὰ καὶ τὸ εὔκαμπτον καὶ συνεπῶς τὸ εὔπλαστον αὐτῶν· τούτου δ' ἕνεκεν δοκεῖ, ὅτι οἱ λόγοι ἰσχύουσι προτρέψασθαι καὶ παρορμῆσαι τοὺς νέους πρὸς καλοκαγαθίαν καὶ ἐμποιῆσαι αὐτοῖς ἦθος εὐγενὲς καὶ φιλόκαλον καὶ συνδέσαι αὐτοὺς στερρότερον πρὸς τὴν ἀρετήν[5]. Διὰ ταῦτα δὲ οὐ δεῖ παύεσθαι τῇ διδαχῇ καὶ τῷ ἔθει ὡς δυοῖν κηπουρικοῖν ἐργαλείοιν καλλιεργεῖν καὶ διακοσμεῖν τὰ εὐλύγιστα καὶ δὴ ἐπιδεκτικώτατα διαπλάσεως ταῦτα δενδρύλλια.

Πρὸς δὲ οἱ νέοι εἰσὶν ἔνδοτοι κυρίως ἐκ τῶν σωματικῶν ἡδονῶν ταῖς περὶ τὰ ἀφροδίσια[6]· διό, ἐπεὶ εἰσιν ἀσύνετοι, ἅτε μηδέποτε

---

1) Ἠθικ. νικ. Ζ. 13. 1142. α 14 - 16. — 2) Ἠθικ. νικ. Ζ. 13. 1142. α 16 - 20. — 3) Ἠθικ. νικ. 15. 1154. 6 9 - 11. — 4) Ἠθικ. νικ. Θ. 3. 1156. 6 5. — 5) Ἠθικ. νικ. Κ. 10. 1179. 6 7 - 9. — 6) Ρητ. Β. 12 1389. α 5.

ὑπ' ὄψει λαμβάνοντες τὰς ἐπικινδύνους συνεπείας τῶν τοιούτων ἐπιθυμιῶν, εἰσὶν ἀκρατεῖς μέχρις ἀκολασίας· ἀλλ' ἐν ᾧ διώκουσιν αὐτὰς παντὶ σθένει καὶ πάσῃ θυσίᾳ, ἕτοιμοι ὄντες καὶ πρόθυμοι τὰ πάντα προσενεγκεῖν ἐπὶ τοῦ βωμοῦ τῶν ἐπιθυμιῶν, ἀναχαιτίζονται αὐθορμήτως ὑπὸ εὐμεταβόλου τινὸς πνεύματος καὶ ἀφιλόρου αἰσθήματος, ἃ ἐμφωλεύει ταῖς ἑαυτῶν σαρξίν[1]· οὐδεμίαν δ' ἐπιθυμίαν, οὐδὲν δ' αἴσθημα αἰσθάνονται ἐν ἑαυτοῖς βέβαιον καὶ ἀσφαλές. Τὴν δύναμιν τῆς βουλήσεως αἰσθάνονται πάνυ ὀξεῖαν, ἀλλὰ κατὰ πάντα πρὸς τὴν πεῖναν καὶ δίψαν τῶν πασχόντων ὁμοίαν. Ὡς γὰρ ἡ τῶν πασχόντων δίψα καὶ πεῖνα ἐγείρεται μὲν λίαν ὀξέως, πάνυ ὁρμητικῶς, ἀλλ' ἡ δύναμις αὐτῆς μετ' οὐ πολὺ ἐξασθενεῖ καὶ οὕτω βαθμηδὸν ἐκλείπει, οὕτω καὶ τῶν νέων αἱ βουλήσεις, εἰσὶ μὲν ὀξεῖαι καὶ ὁρμητικαί, ἀλλ' οὐκ εἰσὶ διαρκεῖς[2]. Τὴν αὐτὴν δὲ δύναμιν ἔχει παρ' αὐτοῖς καὶ τὸ θυμικὸν καὶ τὸ ὀξύθυμον[3]. Οὐχ οἷόν τε δ' ἦν ἂν ἄλλως τὰς ψυχικὰς δυνάμεις διακεῖσθαι παρ' αὐτοῖς. Ὅταν γὰρ διέπῃ τὰς πράξεις ἀντὶ τοῦ λόγου, ὡς ἐλέχθη, ἡ καρδία, ἀντὶ τῆς διανοίας, ἡ ὁρμή, ἔστι φυσικὴ συνέπεια τὰ πάντα συμβαίνειν ὅλως ἀντιστρόφως, ἢ ἣν ὤφειλε βαίνειν πορείαν.

Ἀσθενεῖς τὴν κρίσιν οἱ νέοι οἴονται τὰ πάντα αὐτοῖς ἀνήκειν, τὰ πάντα ὑπακοὴν καὶ σεβασμὸν αὐτοῖς ὀφείλειν. Ἐὰν δ' ἐπέλθῃ αὐτοῖς μόνον κατ' ἐπίνοιαν, ὅτι παρορῶνται καὶ ὀλιγωροῦνται, τότε δὴ ἀναπτύσσεται ἐν αὐτοῖς πάθος τι λυπηρὸν ἀγανακτήσεως[4]· ζητοῦσι δ' οὕτως εἰπεῖν ἐκβιάσαι τὸν τῶν ἄλλων σεβασμόν, μὴ φροντίζοντες καταστῆσαι πρῶτον πρὸ πάντων σφᾶς αὐτοὺς τῆς τοιαύτης ἀλόγου ἀπαιτήσεως ἀξίους. Ἡ φιλοτιμία τῶν νέων οὐκ ἔστι τὸ παράπαν μείζων τῆς τῶν ἄλλων, ὥστε παραφέρειν αὐτοὺς οὕτως ἀτόπως· φιλότιμοι γάρ εἰσι πάντες οἱ νοῦν ἔχοντες, μόνοι οἱ ἀνδραποδώδεις ἀνέχονται προπηλακιζόμενοι. Ἡ τοιαύτη ἄρα ἀγανάκτησις τῶν νέων προέρχεται μᾶλλον ἐκ τοῦ ἄγαν φι-

---

1) Ρητ. Β. 12 1389 α 6 - 7. — 2) Ρητ. Β. 12. 1389. α 7 - 9. — 3) Ρητ. Β. 12. 1389. α 9 - 10. — 4) Ρητ. Β. 12. 1389. α 10 - 12.

λονίκου αὐτῶν χαρακτῆρος[1]· κέκτηνται δὲ οἱ νέοι τὴν ἰδιότητα ταύτην εἰς ὕψιστον βαθμόν. Φρονούντων δ' ὅτι κέκτηνται πρόσωπα ἐπιβάλλοντα καὶ ἀπαιτούντων τούτου ἕνεκα τὸν τῶν ἄλλων σεβασμόν, γεννᾶται ἐν ἑαυτοῖς ἡ ἰδέα καὶ εἶτα ἡ ἐπιθυμία τῆς ὑπεροχῆς[2]· εἰδότες δ' ὅτι ἡ νίκη ὑπεροχή ἐστιν, ἐπιτείνουσι τὴν φιλόνικον αὐτῶν τάσιν, ἵνα φανῶσιν ἐν πᾶσι νικῶντες, περὶ τοῦ ποιοῦ δὲ τῆς νίκης αὐτῶν τελέως ἀδιαφοροῦντες, αἱ γὰρ τῶν νέων νῖκαι εἰσὶ τὸ πλεῖστον καδμεῖαι. Διὰ ταῦτα δὲ παρ' αὐτοῖς ἐσθ' ὅτε καὶ αὐταὶ αἱ ἀρεταὶ ἀπολλῦσι τὴν σοβαρὰν καὶ ἐπιβάλλουσαν αὐτῶν σημασίαν καὶ βαρύτητα[3]. Οἱ νέοι ἔχοντες μέχρι τῆς στιγμῆς ταύτης τὰ πάντα ἕτοιμα καὶ κατ' ἀκολουθίαν μηδέποτε αἰσθόμενοι ἐκ πείρας τὴν φοβερὰν μάστιγα τῆς ἐνδείας, ὡς μηδέποτε ἐνεγκόντες τὸν βαρύτατον αὐτῆς κλοιόν, ῥίπτουσι τὸ χρῆμα πάνυ ἀφειδῶς[4], δι' ὅπερ ἄλλοι ἔχεαν ῥοὰς ἱδρώτων συλλέξαι. Ἡ φιλαργυρία ἐστὶ πανάληθῶς μήτηρ πάσης κακίας, ἀλλὰ πάλιν τοιαύτη ἀφιλοχρηματία, οἵα τῶν νέων, ἐστὶν ἄνευ τῆς ἐλαχίστης ἠθικῆς ἀξίας, προϊὸν οὖσα ὁμολογουμένης εὐηθείας[5]. Τὴν μέχρις εὐηθείας δ' ἁπλῆν καὶ ἄκακον αὐτῶν καρδίαν δύναται ὁ πρῶτος φαῦλος καὶ πονηρός, ἡ τυχοῦσα ὀπαδὸς τῆς κορινθίας Λαΐδος ἐπωφεληθῆναι. Οὐδὲν γὰρ ὑποπτεύουσι, μετροῦντες τὰ πάντα τῷ πήχει τῆς ἁπλοϊκότητος καὶ εὐηθείας αὐτῶν. Οὐδεμίαν πονηρίαν εἰδότων, ἄρα καὶ οὐδεμία ὑπάρχει[6]· οὐσῶν τῶν γνώσεων αὐτῶν, ὡς εἰκός, λίαν περιωρισμένων, ἀγνοοῦσι παντελῶς τὸ διττὸν τοῦ ἀνθρώπου, ἤτοι ἀγνοοῦσι τὸν ἐσωτερικὸν ἄνθρωπον ὁρῶντες μόνον τὸν ἐξωτερικὸν μὴ εἰδότες, ὅτι ὁ μὲν ἐξωτερικὸς ἄνθρωπος δύναται ἐκφρασθῆναι πρὸς αὐτοὺς ὡς στενώτατος τῶν φίλων, ὡς γλυκύτατος τῶν συγγενῶν, ὡς φιλοστοργότατος τῶν γονέων, ὁ δ' ἐσωτερικὸς ὅλως τοὐναντίον· πάντας δ' ἀληθῶς δυνατὸν ὑπὸ τὰς παγίδας τῶν τοιούτων διγλώττων ὑποπεσεῖν, ἀλλ' οἱ νέοι εἰσὶν ἡ συνήθης αὐτῶν λεία,

---

1) Ρητ. Β. 12. 1389. α 12. — 2) Ρητ. Β. 12. 1389. α 13. — 3) Ρητ. Β. 12. 1389. α 14 - 18. — 4) Ρητ. Β. 12. 1389. α 14 - 16. — 5) Ρητ. Β 12. 1389. α 16 - 18. — 6) Ρητ. Β. 12. 1389. α 18 - 21.

διὰ τὴν ἕνεκα τῆς ἀπειρίας εὐπιστίαν αὐτῶν[1]. Καὶ αὗται ἔτι αἱ τολμηραὶ αὐτῶν ἐλπίδες οὐκ εἰσὶ μόνον τῆς θερμῆς αὐτῶν κράσεως προϊόν, ἀλλὰ μᾶλλον τῆς ἀπειρίας, ἥπερ ποιεῖ αὐτοὺς ἀνικάνους πρὸς πᾶσαν σοβαρὰν πνευματικὴν ἐργασίαν, δι' ἧς ἐδιδάσκοντ' ἄν, ὅτι τὸ ῥᾳδίως δὴ πιστεύειν τε καὶ ἐλπίζειν ἐφ' οἱωνδήποτε λόγων ἂν βασίζηται, ἐστὶν οὐ πάντη ἀκίνδυνον. Τὸ βραχὺ δὲ τοῦ παρεληλυθότος ἔδει διδάξαι τὸ πολὺ τοῦ μέλλοντος, ὑπομιμνῆσκον, ὅτι τὸ μέλλον, ἅτε μέλλον, ἐστὶν ὅλως ἄδηλον καὶ ἀβέβαιον: τὴν ἐλπίδα γὰρ χρὴ κανονίζειν τὰς πράξεις πρὸς τὸ μέλλον, καὶ μὴ τὸ ἀντίστροφον[2]. Αἱ δὲ πράξεις αἱ κανονίζουσαι καὶ παρασκευάζουσαι τὸ εὐτυχὲς καὶ εὔδαιμον μέλλον ἀπαιτοῦσιν εὐστάθειαν χαρακτῆρος καὶ σιδηρᾶν ὑπομονὴν καὶ ἐπιμονήν, τὸ τοιοῦτον δ' ἀπαιτεῖ ἀνδρείαν καὶ θάρρος πρὸς καταπολέμησιν τῶν προσκομμάτων καὶ δυσχερειῶν, ἃ κωλύει τὴν ἀποτελεσματικὴν τοῦ μέλλοντος ἡμῶν ἐξασφάλισιν· ἡ παροῦσα ἡλικία κέκτηται εἰς μέγαν βαθμὸν τὴν ἀρετὴν ταύτην[3]· διὸ καὶ πολλοὶ τῶν νέων παρασκευάζουσι τὸ μέλλον αὐτῶν εὐτυχὲς καὶ ἔνδοξον· ἀλλ' ἐκεῖνοι μόνοι τῶν νέων, οἵπερ ἔχουσιν ὡς ὁδηγὸν καὶ ποδηγέτην τὴν πεφωτισμένην διδασκαλίαν τῶν χρηστῶν καὶ σοφῶν αὐτῶν παιδαγωγῶν καὶ τῶν φιλοστόργων γονέων τὰς παραινέσεις, καὶ τοὺς σωτηρίους τῆς πατρίδος αὐτῶν νόμους· διὰ ταῦτα οἱ τοιοῦτοι νέοι εἰσὶν ἄγαν αἰσχυντηλοί[4]. Ἡ ἀρετὴ δ' αὕτη οὐκ ὀλίγον συμβάλλεται αὐτοῖς πρὸς απόκτησιν καὶ ἄλλων ἀρετῶν αὐτῇ ἀδελφῶν.

Ἡ ἀπειρία δὲ τῶν βιωτικῶν ἀναγκῶν ποιεῖ τοὺς νέους οὐ μόνον, ὡς εἴρηται, ἀφιλοχρήμονας, ἀλλὰ καὶ μεγαλοψύχους[5]· μὴ ταπεινωθέντων γὰρ αὐτῶν ἐν τῷ βραχεῖ αὐτῶν παρεληλυθότι, οἷα δὴ ἀπείρων ὄντων ὅλως τῶν βιωτικῶν μεριμνῶν, ἀναπτύσσεται τὸ εὐγενέστατον τοῦτο αἴσθημα τῆς μεγαλοψυχίας· κατ' ἀρχὰς μὲν οἱ-

1) Ρητ. Β. 12. 1389. α 18 - 20. — 2) Ρητ. Β. 12. 1389. α 21 - 26. — 3) Ρητ. Β. 12. 1389. α 26 - 29. — 4) Ρητ. Β. 12. 1389. α 29 - 31. — 5) Ρητ. Β. 12. 1389. α 31 - 33.

ονεὶ ὁρμεμφύτως καὶ ἄνευ πλήρους συνειδήσεως, εἶτα δέ, προϊόντος τοῦ χρόνου, καθίσταται τελεία ἀρετὴ καὶ τέλειον καὶ λαμπρὸν κόσμημα τοῦ μέλλοντος αὐτῶν βίου.

Αἱ δύο δ' ἄλλαι ἡλικίαι, περὶ ὧν κατωτέρω γενήσεται λόγος, ζῶσι μᾶλλον τῷ λογισμῷ[1], ᾧ κανονίζουσι καὶ ῥυθμίζουσι τὰς ἑαυτῶν πράξεις, διὸ καὶ κεραίαν ἐκ τῶν συμφερόντων αὐτῶν παροράσειεν ἄν, ἐν ᾧ οἱ νέοι ζῶσι μᾶλλον τῷ ἤθει[2]· ὄντες δὲ καὶ φιλόφιλοι, καὶ φιλοίκειοι καὶ φιλέταιροι μᾶλλον τῶν ἄλλων ἡλικιῶν διὰ τὸ χαίρειν τῷ συζῆν, κρίνουσιν οὐδὲν πρὸς τὸ συμφέρον, πάντας μὲν πρὸ πάντων δὲ τοὺς φίλους αὐτῶν[3]· ὥστε τὰ συμφέροντα αὐτῶν εἴη ἂν ἕρμαιον παντὸς φαύλου καὶ πονηροῦ, πρὸς φίλον καὶ ἑταῖρον συσχηματιζομένου.

Ὁ ὥριμος τὴν ἡλικίαν μελετήσας καὶ ἰδὼν πολλά, συγκρίνας, ἃ εἶδε καὶ ἐμελέτησε, πρὸς ὅσα οὐκ εἶδεν εἰσέτι καὶ οὐκ ἐμελέτησε, βλέπει, ὅτι αἱ γνώσεις αὐτοῦ εἰσιν ἀπέναντι τῶν ἀγνοουμένων ἐλάχισται. Διὸ ὁμολογεῖ πάνυ εἰλικρινῶς, ὅτι ἓν οἶδεν, ὅτι οὐδὲν οἶδεν. Ἀλλὰ παρὰ τοῖς νέοις οὐχ ἔχει οὕτως· οὗτοι γὰρ καίπερ ἀληθῶς οὐδὲν εἰδότες, οἴονται τὰ πάντα εἰδέναι, οὐδὲν αὐτοὺς λανθάνειν[4]· οὐδεμία γνῶσίς ἐστιν αὐτοῖς ἄγνωστος. Ἡ ἰδιότης δ' αὕτη ἐστὶν ἀναγκαῖον προσὸν τῶν νέων καὶ τῶν ἐν γένει ἐγωϊστικῶν καὶ ἀσθενῶν χαρακτήρων, οἳ γέμουσι παντοίων ἀδυναμιῶν. Ἔνιοι μὲν γὰρ τούτων τῶν οὕτω δοξαζόντων οὐ διστάζουσιν ἀλλ' οἴονται ἀκριβῶς εἰδέναι, ἕτεροι δὲ πιστεύουσιν οὐδὲν ἧττον, οἷς δοξάζουσιν ἢ ἄλλοι, οἷς ἐπίστανται[5].

Οἱ νέοι παραφερόμενοι πολλάκις ἕνεκεν τοῦ ὁρμητικοῦ αὐτῶν χαρακτῆρος, προβαίνουσι καὶ εἰς πράξεις ἀδίκους· ἀλλ' αἱ ἄδικοι αὐτῶν πράξεις ἀναφέρονται εἰς ὕβριν ἀλλ' οὐκ εἰς κακουργίαν[6]· τὸ κακουργεῖν ἐστι ξένον τοῖς νέοις, οὐδεμίαν χώραν λαμβάνον ἐν ταιαύταις καθαραῖς καὶ ἁγναῖς καρδίαις. Ἐν τοιαύταις δὲ ψυχαῖς ἐνοι-

---

1) Ῥητ. Β 13. 1396. α 16-17. — 2) Ῥητ. Β. 12. 1389. α 35-36. — 3) Ῥητ. Β. 12. 1389. α 36-β 2. — 4) Ῥητ. Β. 12. 1389. β 9. — 5) Ἠθ. νικ. Η. 5. 1147. β 27-35. — 6) Ῥητ. Β. 12. 1389. β 7-8.

κεῖ μόνος ὁ ἔλεος, μόνη ἡ εὐσπλαγχνία, μόνον τὸ ὑπὲρ δύναμιν ἢ τὸ κατὰ δύναμιν εὐεργετεῖν, ὅπερ ἐκτείνεται δαψιλῶς, ἄνευ διακρίσεως ἰδιοτήτων πρὸς πάντας. Τὸ κακουργεῖν, τὸ ἄγριον τοῦτο καὶ θηριῶδες αἴσθημα, προκαλεῖ αὐτοῖς βδελυγμὸν καὶ ἀποτροπαιότητα. Ἡ ἀπειρόκακος δι' αὐτῶν καρδία οὐδένα ὑπολαμβάνει κεκτημένον τοιοῦτον αἴσθημα ἁρμόττον μόνοις τοῖς ἀγρίοις καὶ αἱμοβόροις τῶν θηρίων· διὸ ὑπολαμβάνουσι τοὺς πάντας χρηστοὺς κἀγαθούς. Καὶ αὐτὴ ἡ τάξις τῶν φαύλων καὶ πονηρῶν, ὑπολαμβανομένη ὡς μερὶς ἀνθρώπων ἀποκλήρων τῆς αὐθαιρέτου τύχης, ἀνθρώπων ἀναξιοπαθούντων, εὑρίσκει παρ' αὐτοῖς ταὐτὸ φιλάνθρωπον ἄσυλον, ὅπερ καὶ οἱ ἀγαθοὶ καὶ ἐπιεικεῖς [1].

Ὅτι δὴ ἡ τῶν νέων ψυχὴ ἐστὶν ἁγνὴ καὶ οὕτως εἰπεῖν ἁγία, ἐξαιρουμένων τῶν παιδαριωδῶν αὐτῶν σφαλμάτων, καταφαίνεται καὶ ἐκ τοῦ εἶναι αὐτοὺς φιλογέλωτας [2], ὅπερ χαρακτηρίζει καὶ ἐμφαίνει τὸ μὴ ἐμπαθὲς καὶ τὸ ὅλως ἁγνὸν τῆς ψυχῆς αὐτῶν. Οὐδεὶς γὰρ ἂν βεβαρυμένην ἔχων τὴν ἑαυτοῦ συνείδησιν ἢ τὴν καρδίαν αὐτοῦ κατακλυζομένην ὑπὸ χειμάρρων πικριῶν διαχέοι τὴν ψυχὴν οὕτως, ἐν ᾧ δηλοῦται καρδία ἀπηλλαγμένη, παντὸς ὅπερ ἂν ἐπεβάρυνεν αὐτήν. Κἂν ποτε ὁ τοιοῦτος εἴτε γελάσῃ. εἴτε χαριεντισθῇ, προδίδοται τὸ ἐν αὐτῷ βεβιασμένον.

Ἐκ τῆς ἁγνῆς δὲ καὶ ἀθώας αὐτῶν καρδίας πηγάζει ἔτι καὶ τὸ εὐτράπελον αὐτῶν [3]. Εἰ τὸ τοιοῦτόν ἐστιν ὕβρις ἢ εἶδός τι τοιοῦτον, καὶ ὅπερ εἰ ἀναξαίνει πληγὰς καρδίας τετραυματισμένης ἢ ἀναπολεῖ μελαίνας ἀναμνήσεις, ἥκιστα μέλει αὐτοῖς. Τοσοῦτον ἀδυνατοῦσι διιδεῖν καὶ διαγνῶναι τὰς ἐν τοῖς ἀνθρώποις ὑπολανθανούσας ποικίλας διαθέσεις· τοσοῦτον δ' ἔτι εὑρίσκονται πόρρω τοῦ κεκτῆσθαι τὴν δύναμιν ἐκείνην, ᾗ περ μαντεύσειεν ἂν καὶ αὐτὰ τὰ ἀπόκρυφα, ἅπερ ἐγκρύπτεται ἐν ταῖς ἀσωτάταις τῶν ἀνθρωπίνων πτυχαῖς.

---

1) Ρητ. Β. 12. 1389. — 2) Ρητ. Β. 12. 1389. 6. 10. — 3) Ρητ. Β. 12. 1389 6. 11.

§ 11.

Πρεσβυτικὴ ἡλικία.

Ἡ πρεσβυτικὴ ἡλικία ἐστὶν ὅλως ἀντίθετος τῇ νεανικῇ· ὡς γὰρ ὑπάρχει γῆρας σώματος, ὑπάρχει καὶ διανοίας[1]· οὐδὲν ἐν τῷ κόσμῳ τούτῳ ἐστὶ βέβαιον· τὰ πάντα μεταβάλλεται· τὰ πάντα ἔρχεται καὶ παρέρχεται· τὰ πάντα ῥεῖ δίκην ὑδάτων. Αὐτὸς ὁ ἄνθρωπος ὑπάγεται ὑπὸ τὴν παγκρατιὰν τοῦ αὐτοῦ νόμου δύναμιν· ταὐτὸ ἄτομον, ὅπερ ἐν τῇ νεανικῇ ἡλικίᾳ ἐνεφαίνετο θερμὸν ὡς οἰνωμένον[2], ἐν τῇ ἡλικίᾳ ταύτῃ παρουσιάζεται ὅλως ψυχρὸν[3] ὡς μάρμαρον, ὡς χιών! ὁ πνευματικὸς ἐκεῖνος καὶ ἰδεώδης κόσμος μέρος μὲν ἐξηφανίσθη ἐν τῷ κενῷ, μέρος δὲ μετεβλήθη οὐσιωδῶς. Ἡ ὁρμὴ καὶ ἡ ἄκρατος ἐπιθυμία, ἣ ἐν τῇ νεανικῇ ἡλικίᾳ ἐκανόνιζε καὶ ἐρρύθμιζε τὰς πράξεις αὐτοῦ, ἐν τῇ ἡλικίᾳ ταύτῃ ἐξέλιπεν, εἰ δὲ ὑπάρχει, ἔστιν ἀγνώριστος. Τὰ ἰσχυρὰ δ' αἰσθήματα, ἅπερ καθίστη ἄλλοτε αὐτὸν φιλόφιλον, φιλοίκειον καὶ φιλέταιρον, σήμερον ἐξέλιπον. Ἐντεῦθεν ἐξηγητέον καὶ τὸ μὴ φιλικὸν τῶν πρεσβυτέρων, οὐδεμίαν διάθεσιν πλέον αἰσθάνονται πρὸς τὸ εὐγενέστατον τοῦτο αἴσθημα· ἡ φιλία γὰρ αὐτῶν ἐστιν ἥττων, ὅσῳ οὗτοί εἰσι δυσκολώτεροι καὶ χαίρουσιν ἧσσον ταῖς ὁμιλίαις[4].

Ἐπειδὴ οἱ πρεσβύτεροι βεβιώκασι πολλὰ ἔτη, συνανεστραμμένοι εἰσὶ πολλοῖς, ἑωράκασι πλεῖστα, δεδοκιμάκασι πολλά, ἐξηπάτηνται τὰ πλείω καὶ ἀποτετυχήκασι τῶν πλείστων, συμπεραίνουσιν, ὅτι τὰ πάντα ἐστὶ φαῦλα καὶ μοχθηρά[5]. Τοῦτο δ' ἀναγκάζει αὐτοὺς ἀρνήσασθαι πᾶσαν βεβαίαν γνῶσιν, καὶ ζῆν ἄγαν σκεπτικῶς. Ἡ ἐμπειρία δ' αὕτη ἡ πολυχρόνιος διευθύνει πάσας αὐτῶν τὰς πράξεις. Ἡ πεῖρα, ἡ μεγάλη αὕτη διδάσκαλος, οὐδὲν πλέον, οὐδὲν ἧττον ἢ διδάσκει αὐτοὺς ἀμφιβάλλειν περὶ πάντων, οὐ μὴν ἀλλὰ

1) Πολ· Β. 9. 1270. ϐ. 40. — 2) Ρητ. Β. 12. 1389. α 19 - 20. — 3) Ρητ. Β. 13. 1389. ϐ 30 - 32. Πρβλ. περὶ ζῴων γεν. Ε. 3. 793. ϐ 5 - 8. — 4) Ἠθ. Θ. 7. 1158. α 1 - 6. — 5) Ρητ. 13. 1389. ϐ 14 - 17.

καὶ περὶ αὐτῶν τῶν σαφεστάτων· διὸ ἐν ταῖς συζητήσεσι καὶ συνομιλίαις οὐδὲν ἀπολύτως διαβεβαιοῦνται· ὅθεν προστιθεῖσιν ἀείποτε τὸ «ἴσως», τὸ «τάχα[1]» καὶ τὰ τούτοις παραπλήσια. Ἡ αὐτὴ δ' αἰτία καθίστησιν αὐτοὺς καὶ ἀπαισιοδόξους, ὑπολαμβάνοντας τὰ πάντα ἀείποτε ἐπὶ τὸ χεῖρον, οὐ μὴν ἀλλὰ καὶ καχυπόπτους. Τὰ αἰσθήματα δὲ ταῦτα ἀναπτύσσεται κυρίως ἐκ τῆς ἀπιστίας, ἥ ἐστι μία τῶν τῆς ἡλικίας ταύτης ἐπικρατουσῶν ἰδιοτήτων, ἣ αὖ πρόεισιν ἀμέσως ἐκ τῆς ἐμπειρίας[2]. Ὡς γὰρ ἡ ἀπειρία τῶν νέων ποιεῖ αὐτοὺς λίαν εὐπίστους, οὕτως ἡ ἐμπειρία τῶν πρεσβυτέρων καθίστησιν αὐτοὺς ἄγαν ἀπίστους, ἔσθ' ὅτε ἀκάμπτους καὶ σκληρούς.

Οἱ πρεσβύτεροι ἐν τοῖς αἰσθήμασι τῆς φιλίας καὶ τοῦ μίσους εἰσὶν ὅλως ἀλλοῖοι ἢ οἱ νέοι· ἐπιτυγχάνουσιν, οἶμαι, τοῦ ἀρίστου μέτρου· οὔτε γὰρ φιλοῦσι σφόδρα, οὐδ' αὖ μισοῦσι σφόδρα· εἰκότως δέ· ἑκάστη πρᾶξις ἔχει τὰ ὅρια αὐτῆς, οὐδεὶς δ' ὀφείλει, ἀλλ' οὐδ' ἔξεστιν αὐτῷ τὰ ἐσκαμμένα ὑπερβῆναι· Οἱ πρεσβύτεροι ἐν τῷ κεφαλαίῳ τούτῳ τηροῦσι κατὰ γράμμα τὴν τοῦ σοφοῦ Βίαντος ὑποθήκην, καθ ἣν ὁ ἄνθρωπος ὀφείλει τηρεῖν, ὅσον αὐτῷ ἐφικτόν, ἐν τῇ ἀναπτύξει τοῦ πάθους εἴτε τῆς φιλίας εἴτε τοῦ μίσους τὸν μέσον ὅρον. Μηδέποτε ὁ φιλῶν ἐπιλανθανέσθω, ὅτι ἐλεύσεται ἡμέρα, καθ' ἣν ἀναγκασθήσεται μισῆσαι· καὶ πάλιν ὁ μισῶν, ὅτι ἐλεύσεται καιρὸς κατάλληλος, ὃς βιάσει αὐτὸν πρὸς διαλλαγὴν καὶ τέλος πρὸς φιλίαν. Διὰ ταῦτα δεῖ τὸν νουνεχῆ καὶ κοινωνικὸν ἄνθρωπνν φιλεῖν ὡς μισήσοντα καὶ μισεῖν ὡς φιλήσοντα[3].

Τὸν πολλὰ ἔτη βεβιωκότα ἀδύνατον ναυάγια ἠθικὰ μὴ ὑφεστηκέναι, κατὰ τὸν μακρὸν πλοῦν τῆς βιωτικῆς θαλάττης μὴ ὑπεννηνοχέναι καταδιωγμοὺς εἴτε ὑπὸ τοῦ πεπρωμένου εἴτε ὑπὸ τῶν φαύλων καὶ πονηρῶν τὴν βιωτικὴν τήν δε κοιλάδα, τὴν κοιλάδα τήν δε τῶν ὀδυρμῶν καὶ δακρύων, διερχόμενον. Ἀλλ' ὁ τοιοῦτος κάμπτεται, ταπεινοῦται τέλος, ἀπόλλυσι τὸ θάρρος καὶ τὴν ἀνδρίαν.

---

1) Ρητ. Β. 13. 1389. 6. 17.-19.—2) Ρητ. Β. 13. 6. 1389. 6. 19-22.—3) Ρητ. Β. 13. 1389. 6. 22-24.

ἃ ἄλλοτε ᾐσθάνετο ἐν ἑαυτῷ τοσοῦτον ἀγέρωχα, τοσοῦτον ὑπερήφανα καὶ ἰσχυρά. Ἐντεῦθεν τοίνυν προέρχεται ἡ τῶν πρεσβυτέρων μικροψυχία [1]· οὐδὲν μέγα πλέον, οὐδὲν περιττὸν ζητοῦσιν, ἅτε οὐδενὸς μεγάλου, οὐδὲ περιττοῦ, δεόμενοι. Ἔμαθον ἐκ πείρας, ὅτι τὸ πλέον ἢ ὅσου δεῖται διὰ τὰς καθ' ἡμέραν ἀνάγκας αὐτοῦ ὁ ἄνθρωπος, ἐστὶ περιττόν, ὅλως ἄχρηστον, καὶ δὴ ἀνάξιον τῶν κόπων καὶ μόχθων, οὓς οἱ θνητοὶ πρὸς τοῦτο καταβάλλουσι· διὰ ταῦτα, ὡς εἰκός, ἐφίενται μόνον τῶν πρὸς τὸν βίον, μόνον τῶν ὧν οὐκ ἄνευ.

Οἱ πρεσβύτεροι χαρακτηρίζονται καὶ ὡς ἀνελεύθεροι [2]. Ἀλλ' ὁ χέας πολλοὺς ἱδρῶτας, διαπεράσας γῆν τε καὶ θάλατταν, ὁ στερηθεὶς συγγενῶν, φίλων, οὐ μὴν ἀλλὰ καὶ πατρίδος, ὁ ἀποφυγὼν πᾶσαν ἐπιτετραμμένην καὶ δὴ ἀθώαν ἡδονήν, ὁ στερηθεὶς πολλάκις καὶ αὐτῆς τῆς τροφῆς καὶ τῶν σκεπασμάτων, ὅπως συλλέξῃ μικράν τινα περιουσίαν, δι' ἧς ἐξασφαλίσει τὸ ἑαυτοῦ γῆρας καὶ τὴν τῶν τέκνων αὐτοῦ ἀποκατάστασιν, οὗτος μόνος οἷός τ' ἐστιν ἐκτιμῆσαι δεόντως τὴν ἰδιότητα ταύτην τῶν πρεσβυτέρων ἤτοι τὴν ἀνελευθερίαν. Ὁ εἰδὼς ἐξ ἐμπειρίας πόσον δυσχερές ἐστι τὸ κτήσασθαι, καὶ πόσον ῥᾴδιον τὸ ἀποβαλεῖν [3], οὗτος δύναται ἀποφήνασθαι περὶ τοῦ ἐλαττώματος τούτου τῶν πρεσβυτέρων· ἄλλως ἔχει τὸ πρᾶγμα προκειμένου περὶ ἄλλου Κροίσου ἢ ὁμοίου τινός.

Ἐν τῇ ἡλικίᾳ ταύτῃ ἐκλείπει ἢ σπουδαίως μετριάζεται ὡσαύτως τὸ πάθος τοῦ θυμοῦ ὡς καὶ τὸ αἴσθημα τῆς ἐλπίδος. Τὰ δύο ταῦτα αἰσθήματα ποιεῖ τοὺς κεκτημένους αὐτὰ ἀνδρειοτέρους ὧν τὸ μὲν πρῶτον ποιεῖ αὐτοὺς μὴ φοβεῖσθαι, τὸ δὲ δεύτερον θαρρεῖν· οὐδεὶς γὰρ τῶν ὀργιζομένων φοβεῖται, τὸ δὲ ἐλπίζειν ἀγαθόν τι θαρραλέον ἐστίν [4] ὅθεν οἱ πρεσβύτεροι στερούμενοι τῶν δύο τούτων παθῶν, οὐκ εἰσιν οὔτε θυμώδεις, οὔτε εὐέλπιδες, εἰσὶ δειλοὶ καὶ δυσέλπιδες· τῆς θερμότητος γὰρ αὐτῶν ἐκλιπούσης καὶ ἀποσβεσθείσης συνεξέλιπε καὶ συναπεσβέσθη καὶ πᾶν αἴσθημα καὶ πάθος ὀρ-

---

1) Ρητ. Β. 13. 1389. 6 24-37. — 2) Ρητ. Β. 13. 1389. 6 27. — 3) Ρητ. Β. 13. 1389. 6 27-29. — 4) Προβλ. Ρητ. Β. 12. 1389. α 26-29.

μητικὸν καὶ βίαιον καὶ οὕτω προωδοποίηται τῷ γήρᾳ ἡ δειλία καὶ τὸ δύσελπι. Ὄντες γὰρ οἱ πρεσβύτεροι κατεψυγμένοι αἰσθάνονται ἐν ἑαυτοῖς φόβον· ὁ γὰρ φόβος κατάψυξίς τίς ἐστιν[1].

Οἱ πρεσβύτεροι σὺν τῷ χρόνῳ ἀπέβαλον καὶ τὴν ἐπιθυμίαν, ἀλλ' εἰ καὶ ἀπέβαλον αὐτήν, ὑπολανθάνουσι σπινθῆρες ὑπὸ τὴν ζέουσαν τέφραν τῆς ἐκλειψάσης ἤδη ἰσχυρᾶς ταύτης δυνάμεως. Ἔστι γενικός τις ἠθικὸς νόμος, καθ' ὃν οὗ τινός τις ἐνδεῖται, τούτου καὶ ἐπιθυμεῖ. Τούτου ἕνεκεν οἱ πρεσβύτεροί εἰσι φιλόζωοι ἀεὶ μέν, μάλιστα δ' ἐπὶ τῇ τελευταίᾳ ἡμέρᾳ[2]. Ἀλλὰ τίς οὐκ ἔστι φιλόζωος; τίς λαμβάνων σπουδαίως ὑπ' ὄψει τὸ φοβερὸν τέλος τῆς ζωῆς καὶ τὴν παγετώδη ἐπέλευσιν τοῦ θανάτου οὐ φρίττει καὶ οὐ δειλιᾷ; ὁ ἀποθνήσκων χαίρων ὑπὲρ ἰδέας τινὸς οὐχ ἕπεται τοὐντεῦθεν, ὅτι οὐκ ἔστι φιλόζωος, οὔ, καί περ μεμεθυσμένος ὢν ἐκ τῆς ἰδέας ταύτης, καί περ τοῦ ἐνθουσιασμοῦ αὐτὸν παραφέροντος, αὐτὸς διατελεῖ ἐν πλήρει συνειδήσει τῆς φοβερᾶς καταστροφῆς, ἀλλὰ προσφέρει ἑαυτὸν ἐθελούσιον θῦμα ὑπὲρ αὐτῆς. Πάντες ἄρα εἰσὶ φιλόζωοι· διὸ σκεπτόμενός τις ὀρθῶς καὶ νουνεχόντως περὶ τοῦ ἀκαταλύπτου τούτου μυστηρίου τοῦ θανάτου, τρέμει καὶ ἐπιθυμεῖ ἂν μᾶλλον ζῆν ἐν τῷ ἐλεεινῷ τούτῳ κόσμῳ ἐλεεινὸς ἢ ἀποθανεῖν καὶ μεταβῆναι εἰς τὸ ἄγνωστον[3]· ὅθεν φαίη τις ἄν, τὸ φιλόζωον τῶν πρεσβυτέρων ἔχει βαθεῖαν τὴν ἔννοιαν, εἰς ἣν οἱ νέοι οὐχ οἷοί τ' εἰσιν ἀτενίσαι.

Πᾶς ἔχων συνείδησιν τῆς ὑπάρξεως αὐτοῦ, συγκρίνων ἑαυτὸν πρὸς τοὺς ἄλλους εὑρίσκει ἢ ὅτι κέκτηται τὴν αὐτὴν προσωπικὴν ἀξίαν, ἣν καὶ οἱ ἄλλοι, ἢ μείζω ἢ ἐλάττω. Καὶ εἰ μὲν κέκτηται τὴν αὐτήν, σπουδάζει ποιῆσαι αὐτὴν μείζω καὶ γνωριμωτέραν τῆς τῶν ἄλλων· εἰ δὲ μείζω, ἀγωνίζεται ἐπαυξῆσαι αὐτὴν καὶ περιφανῆ ποιῆσαι· εἰ δὲ τέλος ἐλάττω, προσπαθεῖ παντὶ σθένει ἐπανορ-

---

1) Ρητ. Β. 13. 1389. β 29-32. Πρβλ. Περὶ ζῴων μορ. Δ. 11. 692. α 23. Β. 4. 650. β 27. Προβλ. Β. 31. 869. β 7. Ι. 60. 898. α 5. ΙΑ. 36 903. β 12. Λ. 1. 954. β 13.— 2) Ρητ. Β. 13. 1389. β 32-35. — 3) Πρβλ. Πλάτ. ἀπολογ. Σωκρ. ἐν τέλει.

σῶσαι τὰς αὐτοῦ ἐλλείψεις, αἳ ὑποβιβάζουσιν αὐτόν. Ὁ παραβαίνων δ' ἐν τῇ τοιαύτῃ ἐργασίᾳ τὸ δίκαιον μέτρον εἴτε κατ' ἔλλειψιν εἴτε καθ' ὑπερβολήν, πράττει κακῶς. Τὸ καθ' ὑπερβολὴν πράττειν ἢ τὸ πρὸς τὸ ἴδιον μόνον συμφέρον ζῆν, καὶ τὸ μὴ λαμβάνειν ὑπ' ὄψει τὸ τῶν πέλας, ἐστὶ φιλαυτία ἐπίμεμπτος ἥν περ οἱ πρεσβύτεροι κέκτηνται εἰς μέγαν βαθμόν[1]· ὁ Ἀριστοτέλης σημειοῖ ὀρθῶς, ὅτι τὸ τοιοῦτόν ἐστι μικροψυχία τις[2]· ὁ γὰρ ἀνδρεῖος τό τε σῶμα καὶ τὴν ψυχὴν δύναται οὐ μόνον τὴν αὐτοῦ τύχην τελέως ἐξασφαλίσαι, ἀλλὰ καὶ τὴν τῶν ἄλλων βελτιῶσαι· ἀλλ' ὁ ἀσθενὴς τό τε σῶμα καὶ τὴν ψυχὴν μόλις τὴν ἑαυτοῦ καὶ οὐκ ἀεὶ ἄνευ ὑποσκελίσεως τῆς τῶν ἄλλων. Τὸ ζῆν μᾶλλον πρὸς τὸ συμφέρον ἢ πρὸς τὸ καλόν ἐστιν ἀπαράβατος ὅρος τῶν μικροψύχων καὶ ἀναγκαῖον προσὸν αὐτῶν· τὸ μὲν πρῶτόν ἐστι δι' αὐτοὺς τοιοῦτον, τὸ δὲ δεύτερον αὐτὸ καθ' αὑτό[3], καὶ δὴ οὐ φέρει ἄμεσον καὶ ὁρατὴν τὴν ὠφέλειαν τοῖς μικροψύχοις· ἐκ τούτου δὲ ἤτοι ἐκ τοῦ πρὸς τὸ συμφέρον ζῆν πρόεισιν ἡ τῶν πρεσβυτέρων ἀναισχυντία· «εἰσὶ γὰρ ἀναίσχυντοι μᾶλλον ἢ αἰσχυντηλοί[4].» Φροντίζων γάρ τις μόνον περὶ τοῦ ἰδίου αὐτοῦ συμφέροντος, τοῦ δὲ καλοῦ καταλιγωρῶν, ἐστὶ φανερόν, ὅτι οὐ μέλει αὐτῷ τὸ δοκεῖν, ἐξ οὗ ἐξήρτηται τὸ εἶναί τινα ἀναίσχυντον ἢ αἰσχυντηλόν[5].

Λαμβάνοντες οἱ πρεσβύτεροι ὑπ' ὄψει τὸ παρεληλυθὸς αὐτῶν καὶ μέλλον, ὁρῶσιν, ὅτι τὸ μὲν πρῶτόν ἐστι μακρὸν καὶ καθαρῶς ἱστορικόν, τὸ δὲ δεύτερον ὅλως ἄγνωστον, ὅλως ἀβέβαιον καὶ δὴ αὐτοῖς ἀνθρωπίνως βραχύτατον· ὅτι τὸ μὲν πρῶτον γέμει παντοίων ἀναμνήσεων, τὸ δὲ δεύτερον, ἅτε μέλλον ὄν, ἐστὶν ὅλως κενόν· διὰ ταῦτα οἱ πρεσβύτεροι, ὡς εἰκός, ζῶσι μᾶλλον τῇ μνήμῃ ἢ τῇ ἐλπίδι[6], οὐδὲν δ' ἔχοντες ἐλπίζειν πλέον, οὐδὲν ἐλπίζουσι. Τὸ μόνον ὅπερ ἐλπίζουσιν οἱ πρεσβύτεροι καὶ ὅπερ ἐστὶ βεβαιότερον καὶ αὐτοῦ τοῦ βεβαίου ἐστὶν ἡ ἀπὸ ὥρας εἰς ὥραν ἀναμενομένη ἐπέλευσις τοῦ φο-

---

1) Ρητ. Β. 13. 1389. Β. 35.—2) Ρητ. Β. 13 1389. 6. 35.—3) Ρητ. Β. 13. 1389. 6. 36. 1390. α 1.—4) Ρητ. Β. 13. 1390 α 1-2.—5) Ρητ. Β. 13. 1390. α 2-4.—6) Ρητ. Β. 14. 1390 α 6-11.

βεροῦ τέλους τοῦ θανάτου! Τούτου δ' οὕτως ἔχοντος, προσφεύγοντες οἱ πρεσβύτεροι πρὸς τὸ πλούσιον αὐτῶν παρεληλυθός, ποιοῦνται μνείαν τῶν μυρίων ὅσων κατ' αὐτὸ συμβεβηκότων· ἀναμιμνησκόμενοι δ' αὐτῶν ἥδονται ἄγαν· διὸ καὶ διατελοῦσι διηγούμενοι μετ' ἀνεκφράστου ἡδονῆς, ἐπαναλαμβάνοντες μετὰ πολλῆς τῆς λεπτομερείας καὶ μακρηγορίας ταῦτα· τούτου δ' ἕνεκα οἱ πρεσβύτεροί εἰσιν ἄγαν ἀδόλεσχοι [1]. Οἱ πρεσβύτεροι, οἷα παρηκμακότες, ἀπολωλέκασιν, ὡς ἐρρήθη, τὴν θερμότητα αὐτῶν, καὶ κατ' ἀκολουθίαν καὶ τὸν ἐκ ταύτης ἀναπτυσσόμενον θυμόν· ἀλλ' ἐν ὅσῳ ὑφίσταται τὸ ζωτικὸν ἐκεῖνο πνεῦμα, ὅπερ καλεῖται ψυχή, ἡ θερμότης οὐκ ἐκλείπει τελέως. Ἐντεῦθεν ἀναπτύσσονται πολλάκις θυμοί, οἳ κατ' ἀρχάς εἰσιν ὀξεῖς λίαν, ἀλλ' εἶτα ἐξασθενοῦντες ἀποσβέννυνται, μὴ ἔχοντες πλέον τὴν δύναμιν ἐπὶ πολὺ διαρκεῖν. Διὰ τὸν αὐτὸν λόγον καὶ αἱ ἐπιθυμίαι, ὧν αἱ μὲν ἐκλελοίπασι μονονοὺ τελέως, αἱ δ' εἰσὶν ἀσθενεῖς· διὰ ταῦτα οὔτε ἐπιθυμητικοί εἰσιν οἱ πρεσβύτεροι, οὔτε πρακτικοὶ κατὰ τὰς ἐπιθυμίας· τὸ μὲν γάρ, ἐπεὶ ἡ θερμότης ἡ τὰ πάθη γεννῶσα εἴτε ἐκλέλοιπεν εἴτε ἐξησθένησε, τὸ δέ, ἐπεὶ ἡ δύναμις, ἣ ἐν τῇ ἐξασκήσει τῶν ἐπιταγῶν τῶν ἐπιθυμιῶν ἐστιν ἐκ τῶν ὧν οὐκ ἄνευ, ἠμβλύνθη ἄγαν. Ἓν μόνον ἐλατήριον τονίζει ἔτι τὰς ὑπολειπομένας αὐτῶν δυνάμεις· αὐτὸ δ' ἐστὶ τὸ κέρδος, τὸ συμφέρον [2]. Πᾶν δ' ὅ,τι ἀφορᾷ τοῦτο διατελοῦσιν ἐνήμεροι ἐν τούτῳ καὶ ἐπιθυμητικοί εἰσι καὶ πρακτικοί. Τὸν λάτρην τοῦ κέρδους καὶ τοῦ συμφέροντος, ἐάν τε πρεσβύτερος ᾖ ὁ τοιοῦτος, ἐάν τε νέος, χρὴ ἐᾶσαι χαίρειν ἅπαξ διὰ παντὸς τὰς ἐνόχους ἡδονὰς καὶ ἐπιθυμίας, αἳ καθίστασαν ἂν τὸ κέρδος καὶ τὸ ἴδιον αὐτῶν συμφέρον προβληματικόν. Διὸ οἱ τοιοῦτοι οὐ μόνον φαίνονται σωφρονικοὶ εἶναι, ἀλλὰ καί εἰσι κατ' ἀνάγκην τοιοῦτοι [3]· συμβάλλεται δὲ πρὸς τούτοις ταῖς πρεσβυτέραις καὶ ἡ τελεία ἄνεσις τῶν ἐπιθυμιῶν, συνεπῶς ἐλεύθεροι τούτων ὄντες, δουλεύουσι τῷ προσφιλεῖ αὐτῶν θεῷ Ἑρμῇ ἀποτελεσματικώτερον [4]. Ἐπεὶ δὲ τὸ

1) Ρητ. Β. 13. 1390. α 9-10. — 2) Ρητ. Β. 13. 1390. α 11-14. — 3) Ρητ. Β. 13. 1390. α 14. — 4) Ρητ. Β. 13. 1390. α 15.

ἦθός ἐστι τῆς ἀρετῆς, ὁ κερδῷος αὐτῶν Ἑρμῆς ἥκιστα ἔχει πρὸς αὐτὸ σχέσιν, συγκεντρῶν ἅπασαν τὴν προσοχὴν αὐτοῦ πρὸς τὸν λογισμόν, ὅς ἐστι τοῦ συμφέροντος. Διὰ ταῦτα οἱ πρεσβύτεροι ζῶσι μᾶλλον κατὰ λογισμὸν ἢ κατ' ἦθος[1]. Ἀλλ' ὁ ζῶν οὕτως, ὁ μὴ κανονίζων τὸν βίον αὐτοῦ τοῖς ἠθικοῖς κανόσι καὶ νόμοις, ἀλλὰ μόνῳ τῷ λογισμῷ, ἔστιν ἄδικος. Ἐπειδὴ δ' ὁ ἀδικῶν ἀδιαφορεῖ, εἰ τὰ ἀδικήματά ἐστιν εἰς ὕβριν ἢ εἰς κακουργίαν, τὰ ἀδικήματα τῶν πρεσβυτέρων ἐστὶ συνήθως εἰς κακουργίαν[2]. Ἡ καρδία γὰρ αὐτῶν μετεβλήθη σὺν τῇ ἡλικίᾳ οὐσιωδῶς· δυνατὸν δ' εἰπεῖν, οὐδ' ἀπαληλιμμένα τινὰ ἴχνη τῆς νεανικῆς αὐτῶν ἀθωότητος καὶ ἁπλότητος ἴδοιεν ἄν τις καὶ διακρίνειεν· ὁ χρόνος, ὁ πανδαμάτωρ οὗτος δεσπότης, ἀπήλειψε τελέως καὶ τὴν τελευταίαν γραμμὴν τοῦ λαμπροῦ συμπλέγματος τῶν ἀθώων ἐκείνων ἀρετῶν, ὧν ἕνεκεν εἶχον μὲν πολλὰς παιδαριώδεις ἐλλείψεις, ἀλλ' οὐδέποτε εἰς κακουργίαν. Τὸ τοιοῦτόν ἐστι καρδίας ἀνθρώπων πρὸς τὸ συμφέρον, διὰ τοῦ συμφέροντος καὶ ἐν τῷ συμφέροντι ζώντων. Ὥστε μόνον τὸ συμφέρον διευθύνει πάσας τὰς πράξεις τῶν πρεσβυτέρων, οὐ μὴν ἀλλὰ καὶ ἐν αὐτῇ τῇ ἐλεημοσύνῃ, χρεὼν αὐτὴν κανονίζειν ἐλευθέρως τὴν καρδίαν. Ἐν παντί, ὅπερ τὸ συμφέρον ὑπαγορεύει, φυσικῶς ἡ καρδία οὐ λαμβάνεται ὑπ' ὄψει· ἐν καρδίᾳ ἐν ᾗ ὁ κερδῷος Ἑρμῆς ἔστησε τὰ χρυσᾶ αὐτοῦ μέγαρα, ἡ ἁγνὴ φιλανθρωπία ἀπέπτη. Ὥστε τὸ ἐλεητικὸν τῶν πρεσβυτέρων οὐχ ὑπαγορεύει ἡ φιλανθρωπία, ἀλλ' ἡ ἀσθένεια «πάντα γὰρ οἴονται ἐγγὺς εἶναι ἑαυτοῖς παθεῖν[3]. Τίς οἶδε, φασὶν ἐν ἑαυτοῖς, ὅτι καὶ ἡμεῖς ἐν τῇ αὐτῇ ἐλέου ἀξίᾳ θέσει ἡμέραν τινὰ οὐχ εὑρεθησόμεθα; ὥστε διὰ πᾶν ἐνδεχόμενον καλὸν ἡμῖν μικρόν τι σπεῖραι, ἵνα ἐν ἐνδεχομένῃ ἐν τῷ μέλλοντι ἀπευκταίᾳ ἀνάγκῃ θερίσωμεν, ἤτοι λάβωμεν τοὐλάχιστον τοὺς γλίσχρους τόκους τῶν χρημάτων, ἃ σήμερον ῥίπτομεν ἐν τῇ παλάμῃ τῶν πτωχῶν ἄνευ τακτικῶν συμβολαίων, καθ' ἃ εἰώθαμεν, ἀλλ' ὑπαγορευόμενα ὑπὸ μοιραίας καὶ δὴ ἀναποφεύκτου ἀνάγκης.

---

1) Ρητ. Β. 13. 1390. α 16 - 18. — 2) Ρητ. Β. 13. 1390. α 18. — 3) Ρητ. Β. 13. 1390. α 19 - 22.

Τούτων δὲ καὶ μυρίων ἄλλων ἔν τε τῇ καρδίᾳ καὶ τῇ διανοίᾳ τῶν πρεσβυτέρων ἀνακυκλουμένων, καθίστανται ὀδυρτικοί[1]· ἐπομένως οἱ πρεσβύτεροι οὐδέποτε ἢ σπανίως γελῶσι καὶ χαριεντίζονται[2]· τὰ αἰσθήματα γὰρ ταῦτα, τό τε φιλόγελων καὶ εὐτράπελον, ἐστὶν ὅλως ἐναντία τῷ ὀδυρτικῷ αὐτῶν χαρακτῆρι[3].

§ 12.

Ἀνδρικὴ ἡλικία.

Διαλαβὼν μετὰ τῆς δυνατῆς συντομίας ἐν τοῖς προηγουμένοις περὶ τῶν ἠθικῶν καὶ τῶν διανοητικῶν ἰδιοτήτων τῶν δύο τῆς ἀνθρωπίνης ἡλικίας ἄκρων ἤτοι τῆς νεανικῆς καὶ τῆς πρεσβυτικῆς ἔδειξα, ὅσον ἐμοὶ ἐφικτόν, τὰς μεταξὺ αὐτῶν διαφοράς· νῦν δ' ἀνάγκη εἰπεῖν ὀλίγα τινὰ καὶ περὶ τῆς ἀνδρικῆς. Ἐπειδὴ δ' οἱ ἀκμάζοντες ἵστανται χρονικῶς ἐν τῷ μέσῳ τῶν δύο προειρημένων ἡλικιῶν, ἵστανται λογικῶς ἐν τῷ μέσῳ καὶ ἠθικῶς καὶ διανοητικῶς «οἱ ἀκμάζοντές» φησιν ὁ Ἀριστοτέλης «φανερόν, ὅτι μεταξὺ τούτων τὸ ἦθος ἔσονται, ἑκατέρων ἀφαιροῦντες τὴν ὑπερβολήν»[4]. Καὶ κατωτέρω «ὡς δὲ καθόλου εἰπεῖν, ὅσα μὲν διῄρηται ἡ νεότης καὶ τὸ γῆρας τῶν ὠφελίμων, ταῦτα ἄμφω ἔχουσιν, ὅσα δ' ὑπερβάλλουσιν ἢ ἐλλείπουσι, τούτων τὸ μέτριον καὶ τὸ ἁρμόττον»[5].

Οἱ ἄνδρες ὡς ἀκμάζοντες κατά τε τὸ σῶμα καὶ τὴν ψυχὴν καὶ δὴ μὴ ἔχοντες μήτε τὰς ἐλλείψεις μήτε τὰς ὑπερβολὰς τῶν νέων καὶ τῶν πρεσβυτέρων, ὄντες ἐλεύθεροι βιαίων παθῶν καὶ ἀδυναμιῶν, κρίνουσι πολλῷ ἀσφαλέστερον καὶ φρονιμώτερον καὶ δὴ δικαιότερον αὐτῶν· διὰ ταῦτα αἱ πράξεις τῶν ἀκμαζόντων εἰσὶν ὀρθότεροι καὶ δικαιότεραι, ἐν ᾧ αἱ πράξεις τῶν νέων καὶ τῶν πρεσβυτέρων δυευθύνονται καὶ κανονίζονται, ἐκείνων μὲν ὑπὸ τοῦ ἡ-

---

1) Ρητ. Β. 13. 1300. α 23.—2) Ρητ. Β. 13. 1390. α 22-23—3) Πδρ. Ρητ. Β. 13. 1390. α. 23.—4) Ρητ. Β. 14. 1390 α. 29-30.—5) Ρητ. Β. 14. 1390. 6 6-9.

θους [1], τούτων δὲ ὑπὸ τοῦ λογισμοῦ [2], αἱ πράξεις τῶν ἀκμαζόντων διευθύνονται καὶ κανονίζονται ὑπ' ἀμφοτέρων τούτων· ὥστε πρᾶξίς τις λογισμοῦ ἀποδοκιμαζομένη κατηγορηματικῶς ὑπὸ τοῦ ἤθους, οἷα ἀντικειμένη τοῖς ἠθικοῖς νόμοις ἀποπέμπεται παρὰ τοῖς ἀκμάζουσι· πρᾶξις δ' αὖ ἤθους, ἡ ὑπὸ τοῦ λογισμοῦ θεωρεῖται ὡς ἄσκοπος, ἢ ὡς προϊὸν καρδίας ἀπατωμένης, θῦμα γινομένης βιαίου τινὸς πάθους αὐτῆς, ἀποδοκιμάζεται ὡσαύτως καὶ δὴ ἀποπέμπεται.

Οἱ μὲν νέοι εἰσὶ τολμηροὶ ἀφορῶντες πρὸς τὸ πέλαγος τοῦ μέλλοντος αὐτῶν, τῆς ἐλπίδος ποιούσης αὐτοὺς ἀφόβους καὶ θαρραλέους [3], οἱ δὲ πρεσβύτεροι ἵστανται ἔντρομοι πρὸ τοῦ φοβεροῦ τέλους τοῦ μέλλοντος αὐτῶν, ὅλως κατεψυγμένοι καὶ συνεπῶς δειμαλέοι [4], ἀτενίζοντες πρὸς τὴν ἀναμένουσαν αὐτοὺς ἄγνωστον αἰωνιότητα, πρὸ τοῦ χαίνοντος αὐτῶν τάφου· οἱ ἀκμάζοντες ὅμως ἀμφότερα τὰ ἄκρα ταῦτα, ἐκεῖνο μὲν ὡς θρασύ, τοῦτο δὲ ὡς παιδαριῶδες, ἀπορρίπτουσι· τὸ πεπρωμένον γὰρ οὐδεὶς ἀποφυγεῖν δύναται· διὸ ὡς μὴ ἔχον οὐδένα πρακτικὸν λόγον, οὐκ ἔχει λόγον τὸ παράπαν λαμβάνεσθαι ὑπ' ὄψει. Οἱ μὲν νέοι ὡς ἄπειροι μετροῦσι τὰ πάντα τῷ πήχει τῆς ἀθώας αὐτῶν καρδίας μὴ ὑποπτεύοντες δὲ μηδεμίαν πονηρίαν καὶ φαυλότητα, ὑπολαμβάνουσι τοὺς πάντας χρηστοὺς κἀγαθούς· οὐδεμίαν ἰδιότητα ἴσασιν ἑτέραν τοῖς ἀνθρώποις ἀποδίδοσθαι ἢ τὴν τῆς καλοκαγαθίας [5]. Τοῦτο δὲ προέρχεται ἐκ τοῦ μηδέποτε ἠπατῆσθαι [6]· οὐκ ἠπάτηνται δέ, ἐπεὶ μέχρι τῆς στιγμῆς ταύτης ἔμενον μακρὰν τοῦ πρακτικοῦ βίου καὶ τῶν παρομαρτουσῶν αὐτῷ ἀπατῶν καὶ δολιοτήτων, οἷα δὴ διατελοῦντες ὑπὸ τὴν κραταιὰν τῶν ἑαυτῶν γονέων αἰγίδα ἢ τῶν κηδεμόνων αὐτῶν, οἱ δὲ πρεσβύτεροι τοὐναντίον εἰδότες ἐκ πικρᾶς πείρας, ὅτι τὰ πλεῖστα τῶν ἐν τῷ κόσμῳ τούτῳ πραγμάτων ἐστὶ φαῦλα, ἀπι-

---

1) Ρητ. Β. 12. 1389. α 35. — 2) Ρητ. Β. 13. 1390. α 16-18. — 4) Ρητ. Β. 12. 1389. α 21-29. — 4) Ρητ. Β. 13. 1389. 6 29-32. — 5) Ρητ. Β. 12 1389. 6 9-10 — 6) Ρητ. Β. 12. 1389. α 18.

στοῦσι πρὸς πάντα[1]· οἱ ἀκμάζοντες μέν τοι γε οὔτε τῶν πρώτων τὴν εὐπιστίαν οὐδὲ τῶν δευτέρων τὴν ἀπιστίαν ἀσπάζονται. Διὸ τέμνουσι μέσην ὁδόν, δι' ἧς ἀποφεύγουσι τοὺς ἀναποδράστους κινδύνους τῶν δύο ἀντιθέτων ἄκρων.

Οἱ νέοι μὴ λαβόντες πεῖραν τῆς πικρᾶς ἐνδείας τῆς ἐξευτελιζούσης καὶ τὸν μεγαλεπηβολώτατον τῶν ἀνδρῶν, ρίπτουσι πάνυ ἀφειδῶς, τά, τίς οἶδε διὰ πόσων, κόπων καὶ μόχθων ἐκτήθη, χρήματα[2], οἱ δὲ πρεσβύτεροι γιγνώσκοντες, ὅτι ἡ κτῆσις τῶν χρημάτων ἐστὶ τοσοῦτον δυσχερές ὅσον εὐσχερές ἐστιν ἡ ἀποβολὴ καὶ ἀπώλεια αὐτῶν, καθίστανται φειδωλοὶ καὶ ἀνελεύθεροι[3] μέχρι φιλαργυρίας. Οἱ ἀκμάζοντες ἀπορρίπτουσι καὶ τὸ μὲν ὡς εὔηθες, καὶ τὸ δὲ ὡς προληπτικόν· διὰ τοῦτο οὗτοι οὔκ εἰσιν οὔτε ἄσωτοι ὡς οἱ νέοι, οὔτε φειδωλοὶ καὶ ἀνελεύθεροι ὡς οἱ παρηκμακότες ἀλλ' ὡς ὁ ὀρθὸς λόγος ἀπαιτεῖ ἤτοι πρὸς τὸ ἁρμόττον ὡσαύτως ἀποφεύγουσιν οἱ ἀκμάζοντες κανονίζειν καὶ ῥυθμίζειν τὰς αὐτῶν πράξεις τῷ θυμῷ καὶ τοῖς ἐπιθυμίαις, καὶ οὕτω κατορθοῦσι συνδυάσαι τὴν σωφροσύνην μετὰ τῆς ἀνδρίας καὶ τὴν ἀνδρίαν μετὰ τῆς σωφροσύνης[4]. Ὅθεν αἱ πράξεις αἱ ἀπὸ τῆς καρδίας ἀπορρέουσαι, ἐγκεκριμέναι καὶ βεβασανισμέναι ὑπὸ τοῦ λόγου οὐ δύνανται ἄλλως ἢ καλαὶ κἀγαθαὶ εἶναι· οὐδεμία γὰρ ὑπερβολὴ λωβοῖ αὐτάς, οὐδεμία ἔλλειψις ἀσχημίζει.

Οἱ ἀκμάζοντες εἰ καὶ εἰσὶ ἐπιθυμητικοὶ ὡς οἱ νέοι καὶ οἷοί τ' ἐκτελέσαι, ὧν ἂν ἐπιθυμήσωσιν, οὐδέποτε μέντοι ἀποφασίζουσί τι, ὅπερ ἠσχήμιζεν ἂν αὐτούς, διὰ ταῦτα κρατοῦσιν ἑαυτῶν. Ἡ ἀκρασία ἡ περὶ τὰ ἀφροδίσια, ἧς ὑπὸ τὸ ἐπικίνδυνον κράτος οἱ νέοι διατελοῦσιν, οὐ δύναται παρὰ τοῖς ἀνδράσι πλέον σχεῖν χώραν[5]. Τὸ εὐμετάβολον καὶ ἀψίκορον πρὸς τὰς ἐπιθυμίας, ὅπερ ποιεῖ ἐπιθυμεῖν μὲν σφόδρα, παύεσθαι δὲ ταχέως, μετεβλήθη παρὰ τοῖς

---

1) Ρητ. Β. 13. 1389. 6 14-22.—2) Ρητ. Β. 12. 1389. α 14-16.—3) Ρητ. Β. 13. 1389. 6. 27-29.—4) Ρητ. Β. 14. 1390, 6. 3-5—Ρητ. Β. 14. 1390. 6 1-3

ἀκμάζουσιν εἰς χαρακτῆρα, διό εἰσιν εὐσταθεῖς εἰς ὅ,τι ἂν ἀποφασίσωσιν, ὑπολαμβάνοντες ὡς πάντη ἄτοπον τὸ ἀεὶ μεταπίπτειν. Πρῶτον γὰρ σκέπτονται, εἰ οἷοί τ' εἰσὶ δεῖξαι καὶ τηρῆσαι τὴν ἀπαιτουμένην ὑπ' αὐτῶν εὐστάθειαν· καὶ εἰ μὲν δύνανται καὶ ἐστὶ καὶ ἐπιτετραμμένον ἠθικῶς κατέργωνται εἰς τὴν πραγμάτωσιν τῶν ἐπιθυμιῶν αὐτῶν. Αἱ βουλήσεις αὐτῶν οὐκ εἰσιν ὀξεῖαι, ἀλλὰ τακτικαὶ καὶ διαρκεῖς· εἰ καὶ οἱ ἀκμάζοντες οὐκ ἐπαύσαντο ὄντες θυμικοὶ καὶ ὀξύθυμοι, ἐμετριάσθη μέν τοι γε τὰ πάθη ταῦτα ἐπὶ τοσοῦτον καὶ ἐκανονίσθη ὑπὸ τοῦ ὀρθοῦ λόγου, ὥστε ἡ ὁρμὴ οὐκ ἔχει χώραν. Ὅπου γὰρ λόγος ἐκεῖ ἡ ὁρμὴ οὐκ ἰχύει, ἣ καθίστησι τοὺς νέους ἀκατασχέτους ἐν ταῖς βουλήσεσιν αὐτῶν· ὅπου δ' αὖ ἄλογος ὁρμή, ἐκεῖ ὁ λόγος οὐκ ἰσχύει, ὑπὸ ταύτης παρασυρόμενος. Αἱ ἀπαιτήσεις ἐκεῖναι τῶν νέων καὶ ἀξιώσεις τοῦ τὸν πρὸς ἑαυτοὺς σεβασμὸν τῶν ἄλλων ἐκβιάσαι εἰσὶ παρὰ τοῖς ἀκμάζουσι γελοῖαι· αὐτοὶ δὲ καθιστᾶσιν ἑαυτοὺς τὸ ἐπ' αὐτοῖς σεβασμοῦ καὶ τιμῆς ἀξίους, ὁ δὲ σεβασμὸς καὶ ἡ τιμὴ παρὰ τῶν ἄλλων ἕπεται ὡς ἀναγκαία τούτου συνέπεια. Τίς γὰρ ἠρνεῖτ' ἂν τὸν ὀφειλόμενον φόρον τοῦ σεβασμοῦ καὶ τῆς τιμῆς τῇ καλοκαγαθίᾳ καὶ τῇ ἱκανότητι; καὶ φιλότιμοι εἰς μέγαν βαθμόν εἰσιν οἱ ἀκμάζοντες καὶ φιλόνεικοι ἔσθ' ὅτε, ἀλλ' οὐ παραφέρονται ὑπ' οὐδενὸς τῶν δύο τούτων παθῶν ὡς οἱ νέοι, κανονίζοντες ἀμφότερα διὰ τῆς ἰσχυρᾶς αὐτῶν βουλήσεως διευθυνομένης ὑπὸ τοῦ ὀρθοῦ λόγου. Ἐπειδὰν δ' ἴδωσι τὴν φιλοτιμίαν αὐτῶν σκοπίμως προσβαλλομένην, τότε εἰ μὲν ὁ προσβάλλων ἐστὶν ἴσως ἢ καὶ ἀνώτερος αὐτῶν ζητοῦσιν ἱκανοποίησιν ἀνάλογον τῇ τε προσγιγνομένῃ αὐτοῖς ὕβρει καὶ τῇ ἑαυτῶν θέσει, εἰ δὲ κατώτερος ἢ καὶ εὐτελής τις, τότε εἰ μὲν οὗτός ἐστιν ἐκ τῆς τῶν φαύλων μερίδος προβαίνουσιν ἀμέσως εἰς τιμωρίαν αὐτοῦ, εἰ δ' ἐκ τῆς τῶν πολλῶν ἀντιτάττουσιν αὐτῷ συνήθως τὴν περιφρόνησιν αὐτῶν, πράττοντες κατ' ἀπόλυτον τοῦ ὀρθοῦ καὶ δικαίου ἀπαίτησιν, ἀλλ' οὐ τῆς ὑπεροχῆς, ὅπερ μόνοις τοῖς νέοις ἀμερίστως ἀνήκει.

Οἱ ἀκμάζοντες ἴσασιν, ὅτι καὶ τὸ κτήσασθαί ἐστι λίαν δυσχερὲς καὶ οὐκ ἴδιον παντός, παντοῦ καὶ πάντοτε, πρὸς δέ, ὅτι τὸ ἀ-

ποβαλεῖν πάνυ εὐχερὲς καὶ ῥᾴδιον[1], ἀλλ' ἡ γνῶσις αὕτη οὐ ποιεῖ αὐτοὺς τοσοῦτον φειδωλοὺς καὶ ἀνελευθέρους, ὥστε κωλῦσαι αὐτοὺς εὐεργετεῖν τοὺς πάσχοντας κατά τι λογικὸν καὶ ὡρισμένον μέτρον, ὅπερ αὐτοὺς οὐδαμῶς ἂν παρέβλαπτε, τοῖς δ' ἐνδεέσι δυνατήν τινα ἀνακούφισιν ἂν παρεῖχεν· ὥστε οὕτως ἂν τήν τε ἄλογον καὶ ἄσκοπον ἀσωτίαν τῶν εὐήθων νέων ἀπέφευγον καὶ τῆς γεροντικῆς προλήψεως παρέκαμπτον. Τί πρὸς τὸ εὖ ποιεῖν ἡ πονηρία τῶν φαύλων; εἰ ἐξηπατήθην, φησὶν ὁ ἀκμάζων, ὑπὸ τῶν φαύλων εἴτε ἅπαξ εἴτε πολλάκις· τί κωλύει με τοῦτο εὐεργετῆσαι τὸν καλὸν καὶ χρηστόν, ἢ καὶ αὐτὸν τὸν φαῦλον καὶ μοχθηρόν, χρείαν ἔχοντα, ἔσθ' ὅτε; ἐγὼ γὰρ τὸν ἄνθρωπον εὐεργετῶ καὶ οὐ τοὺς φαύλους καὶ πονηροὺς αὐτοῦ τρόπους· οὔτε τὸ πρῶτον ἄρα ἀποθαρρύνει με οὐδὲ τὸ δεύτερον κωλύει με· οὐδέτερον γὰρ ἀπᾴδει τοῖς τοῦ εὖ ποιεῖν κανόσι. Τηροῦντες δ' αὐστηρῶς οἱ ἀκμάζοντες τὸ ὡρισμένον τοῦτο μέτρον, οὐδέποτε μεταμελοῦνται διὰ τὰς πράξεις αὐτῶν. Τοῦτο δ' ἐστὶν ἀσφαλὲς ἐχέγγυον περὶ τῆς ὀρθότητος αὐτῶν. Τὸ δὲ μέτρον, ὅπερ οὐδέποτε προκαλεῖ μεταμέλειαν, ἐστὶ πανθομολογουμένως τὸ ἄριστον.

Οἱ νέοι ὡς διάθερμοι ὑπὸ τῆς φύσεως ἔνθεν, πρὸς δὲ ὡς μὴ ἀποτετυχηκότες ἐν τῷ βραχεῖ αὐτῶν παρεληλυθότι ἑτέρωθέν εἰσὶν εἰς τὸν ὕπατον βαθμὸν εὐέλπιδες[2], οἱ δὲ πρεσβύτεροι τοὐναντίον, βεβιωκότες ἔτη πολλὰ καὶ πολλὰ ἑωρακότες καὶ πεπονθότες εἰσὶ τούτου ἕνεκα ἄγαν δυσέλπιδες[3]· ἀλλ' οἱ ἀκμάζοντες ζυγίζοντες τὰ δύο ταῦτα κατὰ τὴν γενικὴν βαρύτητα λαμβάνουσι τὸν μέσον ὅρον καὶ οὕτως ἀποφεύγουσι καὶ τὸ ἄγαν εὔελπι τῶν νέων, καὶ τὸ ἄγαν δύσελπι τῶν παρηκμακότων· ὅσον γὰρ ἄλογον καὶ ἄτοπόν ἐστι τὸ μετὰ βεβαιότητος τὰ ἀδύνατα ἢ τὰ λίαν δυσχερῆ ἐλπίζειν, τόσον ἄλογον καὶ ἄτοπον αὖ ἐστι τὸ περὶ πραγμάτων συνήθων καὶ πολλάκις ἐξαρτωμένων κατὰ τὸ πλεῖστον ἐκ μόνης τῆς τοῦ ἀνθρώπου θελήσεως ἀπελπίζεσθαι. Οὕτω δὲ σκεπτόμενοι οἱ

---

1) Πρβλ. Ρητ. Β. 13. 1389. 6 27-30.—2) Ρητ. Β. 12. 1389. α 19-29.
3) Ρητ. Β. 13. 1390. α 5-6.

ἀκμάζοντες οὔτε ἄγαν εὐελπιστοῦσιν, οὔτε ἄγαν δυσελπιστοῦσιν, ἀλλ' ἔχουσι πρὸς ἄμφω ὡς ἁρμόττει[1]. Οἱ νέοι εἰσὶν ἀνδρειότεροι τοῦ δέοντος[2], ὡς οἱ πρεσβύτεροι δειλότεροι τοῦ δέοντος[3]· ἀλλὰ τῶν πρώτων τὸ ὑπερβάλλον καὶ τῶν δευτέρων τὸ ἐλλεῖπον καθίστησιν αὐτοὺς ἐπιμέμπτους· ἐλέγχει γὰρ ἔλλειψιν ἀποχρώσης κρίσεως πρὸς ὀρθὴν ἐκτίμησιν τοῦ ὀρθοῦ καὶ δικαίου. Οἱ ἀκμάζοντες ἔχοντες τὴν κρίσιν αὐτῶν ἰσχυρῶς ἀνεπτυγμένην καὶ ἐξησκημένην καὶ δὴ ὑπὸ μόνου τοῦ λόγου διευθυνομένην ἀφαιροῦντες ἑκατέρωθεν τὴν ὑπερβολὴν καὶ τὴν ἔλλειψιν οὔτε σφόδρα θαρροῦσι, θρασύτης γὰρ τὸ τοιοῦτον, οὐδ' αὖ σφόδρα φοβοῦνται, ἀλλ' ἔχουσι πρὸς ἄμφω καλῶς λίαν[4]. Τὴν αὐτὴν δὲ μεσότητα τηροῦσιν οἱ ἀκμάζοντες καὶ ἐν τῇ μεγαλοψυχίᾳ τῶν νέων[5] καὶ ἐν τῇ μικροψυχίᾳ τῶν πρεσβυτέρων[6].

Οἱ νέοι κατεχόμενοι ἰσχυρῶς ὑπὸ τοῦ αἰσθήματος ὁρμεμφύτου τινὸς αὐταπαρνήσεως ἐν τῷ φιλεῖν καὶ φιλεῖσθαι παρορῶσι σπουδαίως τῶν ἑαυτῶν συμφερόντων· αἱροῦνται γὰρ πράττειν τὰ καλὰ κἀγαθὰ μᾶλλον, καίπερ πολλάκις ἀντικείμενα τοῖς ἰδίοις αὐτῶν συμφέρουσιν[7]· οἱ πρεσβύτεροι τοὐναντίον κατεχόμενοι ἐπὶ τοσοῦτον ὑπὸ τοῦ πάθους τοῦ κέρδους καὶ τοῦ συμφέροντος παρορῶσι συνήθως τοῦ καλοῦ[8], ἀντεχόμενοι ἀπρὶξ τοῦ ἰδίου αὐτῶν τέλους, καίτοι ἐνίοτε ταὐτὸ ἀποτέλεσμα ἂν ἐκτᾶτο διὰ μικρᾶς τινος καμπῆς τῆς ἑρμαϊκῆς ὁδοῦ. Οἱ πρεσβύτεροι βαίνοντες διὰ ταύτης ἀπαραβάτως οὐ παρεκκλίνουσι ταύτης οὐδὲ γραμμήν, ἐθεωρεῖτο ἂν τὸ τοιοῦτον ὡς τελεία κατάργησις τοῦ κερδῴου αὐτῶν χάρτου, ἀλλ' οἱ ἀκμάζοντες οὐχ οὕτως ἀλλὰ συνδυάζοντες προσηκόντως τὸ καλὸν μετὰ τοῦ συμφέροντος ζῶσι πρὸς ἄμφω κατὰ τὸ ἁρμόττον[9]. Τὰ τοιαῦτα τῶν νέων καὶ τῶν πρεσβυτέρων αἰσθήματα ποιεῖ ἐ-

---

1) Πρβλ. Ρητ. Β. 14. 1390. β 1 - 2. — 2) Πρβλ. Ρητ. Β. 12. 1389. α 26. — 3) Πρβλ. Ρητ. Β. 13. 1389. β 29. — 4) Πρβλ. Ρητ. Β. 14. 1390. α 29 - 32. — 5) Πρβλ. Ρητ. Α. 12. 1389. α 31 - 33. — 6) Ρητ. Β. 13. 1389. β. 24 - 26. — 7) Πρβλ. Ρητ. Β. 12. 1389. α 34 - β 1 - 2. — 8) Πρβλ. Ρητ. Β. 13. 1390. α 15 - 18. — 9) Πρβλ. Ρητ. Β. 14. 1390. α 34. β 2.

κείνους μὲν φιλοφίλους καὶ φιλοικείους καὶ φιλεταίρους[1], τούτους δὲ διατίθησιν ἀντιθέτως καὶ δυσκόλως πρὸς ταῦτα[2]· παρὰ τοῖς ἀκμάζουσι ταῦτα ἔχει ὅλως ἕτερον χαρακτῆρα· καὶ οὗτοί εἰσι καὶ φιλόφιλοι καὶ φιλοίκειοι καὶ φιλέταιροι καὶ ἄγαν χαίρουσι τῷ συζῆν, ἀλλὰ τηροῦσιν ἐν τούτῳ ἐν ἄκρᾳ ἁρμονίᾳ τό τε καλὸν καὶ τὸ συμφέρον· πῶς γὰρ νοοῖτ' ἂν ἑκάτερον τοῦτο αὐτὸ καθ' αὑτὸ ἀπολύτως; τὸ μὲν γὰρ πρῶτον ὑφίσταται, ὁπόταν ὁ πράττων παραγκωνίσῃ καὶ τελέως παρίδῃ τὰ πρὸς αὐτὸν ἀπαραίτητα καθήκοντα, ἃ οὐ μόνον ὑπὸ τῶν ἀνθρωπίνων νόμων ἀναγράφεται ἀλλὰ καὶ ὑπὸ τῶν φυσικῶν ἐπιβάλλεται· τὸ δὲ δεύτερον ὑφίσταται, ὁπόταν ὁ ἐξασκῶν αὐτὸ παρίδῃ, καὶ παραβιάσῃ τά τε φυσικά, τά τε ἠθικὰ καὶ τὰ κοινωνικὰ τῶν ἑαυτοῦ πέλας δίκαια. Ὥστε ὁ ὀρθὸς λόγος ἀπαιτεῖ κατ' ἠθικὴν ἀνάγκην τὸν τῶν δύο τούτων ἄκρων συμβιβασμόν, ὅπερ, ὡς εἴρηται, ἐκπληροῦσιν οἱ ἀκμάζοντες· εἰκότως δέ· εἰ γὰρ ὁ φυσικὸς καὶ ὁ ἠθικὸς νόμος ἀπαιτεῖ τὰ πρὸς τοὺς πέλας καθήκοντα τοῦ ἀνθρώπου, αὐτόδηλον, ὅτι, εἰ μὴ εἰς μείζονα βαθμὸν ἀπαιτεῖ ταὐτὰ καθήκοντα καὶ πρὸς ἑαυτόν, ἀδιαφιλονεικήτως μέν τοί γε οὐκ ἧττονα· ὅθεν τοιοῦτός τις συμβιβασμὸς τῶν δύο τούτων ἀπαραιτήτων καθηκόντων ἀποτελεῖ τὸν δίκαιον καὶ ἐπιεικῆ, τὸν καλὸν κἀγαθόν· τοιοῦτοι δ' εἰσὶν οἱ ἀκμάζοντες.

Οἱ νέοι οἴονται καὶ δισχυρίζονται, ὅτι τὰ πάντα ἴσασιν[3], οἱ δὲ πρεσβύτεροι τοὐναντίον, ἤτοι ὅτι οὐδὲν ἐπίστανται[4]· καὶ τοῦτο κἀκεῖνό ἐστιν ἐπίμεμπτον· διὰ ταῦτα οἱ ἀκμάζοντες ἀποφεύγοντες τὰς ἐσφαλμένας ταύτας δόξας ἀμφοτέρων οὔτε πάντα οἴονται εἰδέναι, ἀσύνετον γάρ, οὐδὲ πάντα ἀγνοεῖν, μωρὸν γάρ. Πᾶν ὅ,τι οὐκ ὑπερβαίνει τὰ ὅρια τῆς ἀνθρωπίνης γνώσεως δύναταί τις μαθεῖν καὶ δισχυρίσασθαι εἰδέναι· ἐν παντὶ μέν τοί γε, ὅπερ κεῖται πέραν τῆς ἀνθρωπίνης πείρας, καί ἐστιν ἀντικείμενον μόνου τοῦ

1) Ρητ. Β. 12. 1389. α 34. — 2) Ἠθ. νικ. Θ. 7. 1158. α 1-6 Ρητ. Β. 13. 1389. β 22 - 24. — 3) Πρβλ. Ρητ. Β. 12. 1389. β5. 4) Ρητ. Β 13. 1389. β 14 - 18.

καθαροῦ λόγου, οὗ περὶ τῶν ἀξιώσεων καὶ κύρους αἱ διάφοροι φιλοσοφικαὶ σχολαὶ πάντων τῶν αἰώνων οὐ συμφωνοῦσι, τὸν ἄνθρωπον χρὴ λίαν ἐπιφυλακτικὸν εἶναι· ναὶ μὲν ἡ κατάφασις ὑποστηρίζεται ὑπὸ τῆς πίστεως, ἀλλ' ἡ ἀπόφασις οὐκ ἀπαγορεύεται ὑπὸ τοῦ καθαροῦ λόγου, οἷα δὴ πέραν τῆς πείρας οὐδὲν ἀπολύτως γινώσκοντος. Τὰ ἀδικήματα τῶν νέων τὰ εἰς ὕβριν[1], καὶ τὰ τῶν πρεσβυτέρων τὰ εἰς κακουργίαν[2] ἐστὶν ἄμφω κακά, διὸ καὶ ἐπίμεμπτα· διὰ τοῦτο οἱ ἀκμάζοντες ἀποφεύγουσιν ὅση δύναμις ἀμφότερα ταῦτα, μέσου ὅρου ἐνταῦθα μὴ ὑπάρχοντος. Πρὸς δὲ καὶ τὸ ἐλεητικὸν τῶν ἀκμαζόντων πηγάζει οὐκ ἐκ τῆς ἰδέας, ὅτι πάντες εἰσὶ χρηστοὶ καὶ δὴ βοηθητέον αὐτοῖς ἀναξιωπαθοῦσιν[3]· οὐδ' αὖ ἐξ ἀσθενείας, καὶ αὐτοὺς ἡμέραν τινά, δυνατοῦ ὄντος, ἐν τῇ αὐτῇ θέσει εὑρεθῆναι[4]· ὁ λόγος δ' αὐτῶν ἐστι καθαρὸς φιλανθρωπικός, ὡς ἐν πλήρει καὶ ἀκριβεῖ γνώσει τῶν ἀνθρωπίνων σχέσεων διατελούντων.

Τὸ φιλόγελων καὶ τὸ εὐτράπελον τῶν νέων[5] παρ' αὐτοῖς ἐρρύθμισται καὶ κεκανόνισται οὐσιωδῶς. Τοῦ δὲ ὀδυρτικοῦ τῶν πρεσβυτέρων[6] οὐδὲ σημεῖα φαίνονται.

Οἱ ἀκμάζοντες συνελόντι εἰπεῖν εἰσιν, ὅσον τῇ ἀτελεῖ ἀνθρωπίνῃ φύσει ἐφικτόν, τέλειοι[7].

---

1) Πρβλ. Ρητ. Β. 12. 1389. β 7-8. — 2) Ρητ. Β. 13. 1399. α 18. — 3) Πρβλ. Ρητ. Β. 12. 1389. β 8-10. — 4) Ρητ. Β. 13. 1390. α 19-22. — 5) Πρβλ. Ρητ. Β. 12. 1389. β 10-12. — 6) Πρβλ. Ρητ. Β. 13. 1390. α 22-23. — 7) Πρβλ. Ρητ. Β. 14. 1390. α 29-β 9.

Β'.

ΗΘΙΚΑΙ ΚΑΙ ΔΙΑΝΟΗΤΙΚΑΙ ΔΙΑΦΟΡΑΙ ΑΝΔΡΟΣ ΚΑΙ ΓΥΝΑΙΚΟΣ

§ 13.

Πρὸ τοῦ με περὶ τῶν ἠθικῶν καὶ διανοητικῶν διαφορῶν ἀνδρὸς καὶ γυναικὸς εἰπεῖν, φέρ' εἴπω πρῶτον ὀλίγα τινὰ περὶ τοῦ «τί ἐστιν ἄρρεν καὶ τί θῆλυ» κατ' Ἀριστοτέλη.

Ὁ Ἀριστοτέλης ὁρίζων τί ἐστιν ἄρρεν καὶ τί θῆλυ φησὶν «Ἄρρεν μὲν γὰρ ζῷον λέγομεν τὸ εἰς ἄλλο γεννῶν, θῆλυ δὲ τὸ εἰς αὐτό... Τὸ δὲ ἄρρεν καὶ τὸ θῆλυ διαφέρει κατὰ μὲν τὸν λόγον τὸ δύνασθαι ἕτερον ἑκάτερον, κατὰ δὲ τὴν αἴσθησιν μορίοις τισίν... Ἐπεὶ δὲ δυνάμει διώρισται καὶ ἔργῳ τινί, δεῖται δὲ πρὸς πᾶσαν ἐργασίαν ὀργάνων, ὄργανα δὲ ταῖς δυνάμεσι τὰ μέρη τοῦ σώματος, ἀναγκαῖον εἶναι καὶ πρὸς τὴν τέκνωσιν καὶ τὸν συνδυασμὸν μόρια, καὶ ταῦτα διαφέροντα ἀλλήλων, καθ' ὃ τὸ ἄρρεν διοίσει τοῦ θήλεος[1].

Ἀλλ' ἡ διαφορὰ αὕτη ἐπιφέρει, ὡς εἰκός, καὶ τὴν τροποποίησιν τοῦ εἴδους.

Ἐκ τούτου δὲ καταφαίνεται, ὅτι ὁ ἀνὴρ καὶ ἡ γυνὴ διαφέρουσιν ἀλλήλων· ἐπεὶ «ἑνὸς μορίου ἐπικαίρου μεταβάλλοντος, φησί, ὁ Ἀριστοτέλης, ὅλη ἡ σύστασις τοῦ ζῴου πολὺ τῷ εἴδει διαφέρει[2].»

Ὅσον ὅμως κἂν διαφέρῃ τὸ ἄρρεν τοῦ θήλεος, οὐκ ἂν ἐξαφανισθείη τὸ εἶδος ἤτοι ὅτι ὁ ἀνὴρ καὶ ἡ γυνὴ οὔκ εἰσιν ἄνθρωποι. Ὁ Ἀριστοτέλης ὁμιλεῖ περὶ τούτου πάνυ σαφῶς ἐν τῇ περὶ ζῴων γενέσεως συγγραφῇ αὐτοῦ[3] λέγων· «ἐν μὲν οὖν τοῖς ζῴοις πᾶσι τοῖς πορευτικοῖς κεχώρισται τὸ θῆλυ τοῦ ἄρρενος, καὶ ἔστιν ἕ-

1) Περὶ ζῴων γεν. Α. 2. 716. α 13 - 27. Πρβλ. περὶ τὰ ζῷα Α. 3. 489. α 10. — 2) Περὶ ζῴων γεν. Δ. 1. 766. α 24. — 3) Α. 23. 730. ϐ 33.

τερον ζῷον θῆλυ καὶ ἕτερον ἄρρεν, τῷ δ' εἴδει ταὐτόν, οἷον ἄνθρωπος ἀμφότερα».

Οἱαιδήποτε ἄρα κἂν ὦσιν αἱ ἐξωτερικαὶ καὶ ἐσωτερικαὶ διαφοραὶ μεταξὺ ἀνδρὸς καὶ γυναικὸς ἀδύνατον θεωρηθῆναι ὄντα διάφορα[1].

Ἐκ τῆς σωματικῆς δ' αὐτῆς διαφορᾶς πηγάζει, ὡς εἰκός, ἡ ἠθικὴ καὶ ἡ διανοητικὴ διαφορά, ἡ ἐναργῶς μεταξὺ ἀνδρὸς καὶ γυναικός, ὡς ἐν ταῖς ἀμέσως ἑπομέναις δυσὶ §§ ὀψόμεθα, ἐμφαινομένη.

§. 14.

ά. Περὶ ἀνδρός.

Περὶ ἀνδρὸς ἐν γένει γέγονε λόγος ἐν τοῖς ἔμπροσθεν διὰ μακρῶν, ἐνταῦθα δὲ γενήσεται περὶ αὐτοῦ εἰδικώτερόν πως λόγος μετὰ τῆς δεούσης συντομίας.

Ὁ ἀνὴρ οὖν ὡς ἐκ τοῦ ἀλλοίου αὐτοῦ ὀργανισμοῦ παραβαλλόμενος πρὸς τὴν γυναῖκα[2], ἐστὶ μείζων καὶ ἰσχυρότερος αὐτῆς[3]. Διὸ διακρίνεται αὐτῆς διὰ τὴν ἰσχὺν τοῦ τε σώματος καὶ τῆς διανοίας· «αἱ γὰρ διάνοιαι ἕπονται, φησὶν ὁ ὁ Ἀριστοτέλης, τοῖς σώμασι[4]».

Ἐντεῦθεν δὲ πηγάζει τὸ ἡγεμονικώτερον αὐτὸν τῆς γυναικὸς εἶναι[5]. Ἡγεμενικώτερος καὶ ἀνδρειότερος οὖν ὁ ἀνὴρ τῆς γυναικὸς ὤν, ὅπερ δηλοῖ καὶ ἡ βαρεῖα καὶ ἐπιβάλλουσα αὐτοῦ φωνὴ[6] προώρισται, ὡς ἦν ἑπόμενον, διὰ τὸν ἐξωτερικὸν κόσμον, τὸν ἐπιστημονικὸν καὶ πολιτικὸν βίον[7].

Ο ἀνὴρ ἕνεκεν τῆς διττῆς ταύτης ὑπεροχῆς φέρει ἐν ἑαυτῷ

---

1) Πρβλ. Μεταφυσιχ. I 9. 1058. α 29 - β 25. —2) Πρβλ. περὶ τὰ ζῷα ἱστ. Α. 7. 491. β 2-5. Α. 17. 497. α 31. Α. Β. 493. α 24. Γ. 7. 516. α 17. Περὶ ζῴων μορ. Β. 7. 653. α 27. Δ. 10. 688. α 19. Περὶ ζῴων γεν. Α. 2. 716. α 13-27. Δ. 1. 766. α 5. — 3) Φυσιογν. 2. 806. β 31. Περὶ ζῴων μορ. Γ. I. 661. β 32. — 4) Φυσιογν. 1. 805. β 25. — 5) Πολ. Α. 12. 1259 α 39-β 4.— 6) Περὶ τὰζῷα ἱστ. Η 7. 581. β 6 - 11. Φυσιογν. 2. 806. β 26. — 7) Πρβλ. οἰκ. 3. 1343. β 26.

τὴν βαρεῖαν ὑποχρέωσιν ὑπερασπίζειν καὶ περιθάλπειν τὸν ἑαυτοῦ οἶκον, ἐν ᾧ ἐνοικεῖ ἡ σύζυγος αὐτοῦ καὶ τὰ τέκνα[1] καὶ τὴν πόλιν καὶ τὴν πολιτείαν, ὧν τὰ ἠθικὰ καὶ ὑλικὰ συμφέροντα συνδεῖται λίαν σφιγκτῶς μετὰ τοῦ ἰδίου ἑαυτοῦ οἴκου. Κατὰ τὴν ἐνάσκησιν δὲ τῶν ὑποχρεώσεων καὶ καθηκόντων τούτων ἀναπτύσσει, ὡς εἰκός, τὰς ἐν τῷ ἰσχυρῷ αὐτοῦ ὀργανισμῷ δυνάμει ἐνούσας ἀρχικὰς ἀρετὰς[2], ἤτοι ἀνδρείαν, θάρρος, ἀφοβίαν, εὐστάθειαν, καρτερίαν καὶ τὰ τούτοις παραπλήσια, ὡς μεγαλοψυχίαν, ἡρωϊσμὸν καὶ εἴτι ἕτερον τοιοῦτον. Ἐφευρίσκει τὰς χειρωνακτικὰς τέχνας, ἐπινοεῖ τὰς πρακτικὰς καὶ θεωρητικὰς ἐπιστήμας καὶ τὰ ὅμοια. Συγχρώμενος δ' ἐν τῇ πολιτείᾳ τοῖς ἑαυτοῦ πέλας, ἀποβαίνει ἀγαθὸς ἢ κακός, δίκαιος ἢ ἄδικος, σώφρων καὶ πρᾷος ἢ ἀκόλαστος καὶ ὀργίλος[3]. Ἡ δὲ γυνὴ μένουσα οἴκοι ἀναπτύσσει, ὡς παρακατιόντες ὀψόμεθα, ἑτέρας ἀρετάς, αἵ εἰσιν ἀνάλογοι τῷ ὀργανισμῷ αὐτῆς καὶ τῷ προορισμῷ.

Τὰ ἔργα τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς διήρηται εὐθὺς ὑπὸ τῆς φύσεως, ἥπερ ἐποίησε τὸ μὲν ἰσχυρότερον, τὸ δὲ ἀσθενέστερον, ἵνα τὸ μὲν φυλακτικώτερον ᾖ διὰ τὸν φόβον, τὸ δὲ ἀμυντικώτερον διὰ τὴν ἀνδρίαν, καὶ τὸ μὲν πορίζῃ τὰ ἔξωθεν, τὸ δὲ σώζει τὰ ἔνδον[4]. Οὕτω δὲ τιθέντες τὰ ἴδια εἰς τὸ κοινὸν καὶ συμπληροῦντες ἀλλήλους δύνανται ἑαυτοῖς ἐπαρκεῖν[5]. Οὕτω θαυμασίως προῳκοδόμηται ὑπὸ τοῦ θείου ἑκατέρου ἡ φύσις τοῦ τε ἀνδρὸς καὶ τῆς γυναικὸς πρὸς τὴν κοινωνίαν[6].

Πολλάκις ὅμως ὁρῶμεν τὸ θῆλυ ἡγεμονικώτερον καὶ ἄμεινον τοῦ ἄρρενος, ἀλλὰ τοῦτό φησιν ὁ Ἀριστοτέλης συνέστηκε παρὰ φύσιν[7].

---

1) Περὶ τὰ ζῷα ἱστ. Θ. 1. 589. α 1 - 9. — 2) Πολιτ. Α. Β. 1260. α 20 - 24. Γ. 4. 1277. α 28 - 6 18. — 3) Ἠθ. νικ. Β. 1. 1103. 6 1 - 25. Ἐπιθι Βίβλ. Β. II - VI. 2. — 4) οἰκ. 3. 1343. 6 26. 1344. α 3. — 5) Ἠθ. νικ. Θ. 14. 1162. α 22 - 24. — 6) Οἰκον. Α. 3. 1343. 6 26 - 27. — 7) Πολ. Α. 12. 1259. α 39 - 6 3.

ἀσχημίζει δὲ καὶ ἀμαυροῖ τὴν τοῦ ἀνδρὸς ὑπερήφανον καὶ ἀγέρωχον φύσιν καὶ συνεπῶς οὐκ ἔστι καλόν[1].

Ὁ ἀνήρ, ὅς ἐστιν, ὡς εἴρηται, ἡγεμικώτερος καὶ ἀμείνων τῆς γυναικός[2], προδιδοὺς τὴν ἑαυτοῦ ἐξουσίαν καὶ παραχωρῶν τὰ ἡνία τῆς ὑπεροχῆς αὐτοῦ τῇ γυναικί, ἐστὶν ἀνάξιος κληθεῖναι κατ' ἀξίαν καὶ κυριολεκτικῶς ἀνήρ. Τὸν ἄνδρα γὰρ χρὴ ἄρχειν τῆς γυναικὸς καὶ τῶν τέκνων[3]. Ἡ οἰκογένεια δεῖ σχηματίζειν εἶδός τι πολιτείας ἀριστοκρατικὴν χροιὰν ἐχούσης[4].

Ὁ Δημιουργὸς πλάσας τὴν φύσιν ἐμπεφύτευκεν αὐτῇ δυνάμεις, αἳ πρὸς συντήρησιν καὶ διαμονὴν τῶν τε ὁρατῶν καὶ ἀοράτων συμπάντων εἰσὶν ἐκ τῶν ὧν οὐκ ἄνευ, καὶ ἅς τινας δύναταί τις καλέσαι συναίτια.

Μία δὲ τῶν μυστηριωδῶν τούτων δυνάμεών ἐστι καὶ ἡ φιλία τοῦ ἀνδρὸς καὶ τῆς γυναικός, ἣ ὁμολογεῖται κατὰ φύσιν εἶναι[5]. Ἐκ τῆς φυσικῆς δὲ ταύτης φιλίας καὶ ἀγάπης πηγάζει ἡ κοινωνία αὐτῶν, ἥτις συνέστηκεν ἐξ ἀνάγκης. Ὥστε τὸ θῆλυ καὶ τὸ ἄρρεν κοινωνεῖ τῆς γενέσεως ἕνεκεν (καὶ τοῦτο, φησὶν ὁ Ἀριστοτέλης, οὐκ ἐκ προαιρέσεως, ἀλλ' ὥσπερ καὶ ἐν τοῖς ἄλλοις ζῴοις καὶ φυτοῖς φυσικὸν τὸ ἐφίεσθαι, οἷον αὐτὸ τοιοῦτον καταλιπεῖν ἕτερον[6]).

Ἀλλ' ὁ ἄνθρωπός ἐστιν οὐ μόνον συνδυαστικόν, ἀλλὰ καὶ πολιτικόν, οὐ μὴν ἀλλὰ καὶ οἰκονομικὸν καὶ κοινωνικόν[7], διότι ἐν ᾧ τὰ ἄλλα ζῷα κοινωνεῖ ἐπὶ τοσοῦτον μόνον, ἐφ' ὅσον ἐπιτυγχάνεται ὁ τῆς γενέσεως σκοπός[8], ὁ ἄνθρωπος ὅμως κοινωνοῖ οὐ μόνον χάριν τούτου, ἀλλὰ καὶ χάριν τῶν πρὸς τὸν βίον ἀναγκαίων[9]. Ἡ κοι-

---

1) Πολ. Η. 3. 1325. 6 3-10. — 2) Πολ. Α. 5. 1254. 6 13. Περὶ ζῴων μορ. γ. 661. 6 32. — 3) Πολ. Α. 12. 1259. α 37-6 4. — 4) Ἠθ. νικ. Η. 12. 1160. 6 32 - 1161. α 3. — 5) Ἠθ. νικ. Θ. 14. 1162. α 16 - 25. — 6) Πολ. Α. 2. 1252. α 24 - 30. — 7) Ἠθ. εὐδ. Η. 10. 1242. α 23 - 26. — 8) Περὶ τὰ ζῷα Ζ. 18. 573. α 28-30. Θ. 1. 588. 6 30 - 33. Ε. 8. 542. α 30. — 9) Ἠθ. νικ. Θ. 14. 1162. α 16-25. Πρβλ. Πολ. Γ. 9. 1280. 6 30 - 35.

νωνία δ' αὕτη ποιεῖ οἰκίαν καὶ πόλιν[1], ἐν ᾗ ἐκπαιδεύεται καὶ παιδαγωγεῖται ὁ ἄνθρωπος διδασκόμενος τὴν ἀρετὴν καὶ τὴν δικαιοσύνην, ὧν ἄνευ οὗτος ὁ μόνος τῶν λοιπῶν ζώων λόγον ἔχων, ἦν ἂν χείριστον πάντων, ἀνοσιώτατον καὶ ἀγριώτατον[2], καὶ ἐποίει ἂν μυριοπλάσια κακὰ θηρίου[3].

Ὁ ἀνὴρ ἕνεκεν τοῦ ὀργανισμοῦ αὐτοῦ καὶ τοῦ ἀνδρικοῦ χαρακτῆρος[4], χαρακτηρίζεται καὶ ὡς θυμικώτερος, οἷα ἰσχυρότερος[5] καὶ δὴ ἧττον μάλακός[6], διὸ δυσκόλως ἢ οὐδέποτε ὑποτάσσεται τελέως ὑπὸ τὴν ἐξουσίαν τῶν ἄλλων, ὡς ἡ γυνή· τὸ προσίεσθαι τὰς χεῖρας ἀντίκειται αὐτῷ τῷ ἀνδρικῷ αὐτοῦ χαρακτῆρι. Διὸ πάντα δύναται ὑπενεγκεῖν, ἀλλὰ μετὰ τῆς ἐλπίδος ταχείας καὶ ὁριστικῆς ἀπαλλαγῆς αὐτῶν. Διὰ ταῦτα ὁ ἀνὴρ ἀντιμετατωπίζει τὴν καταδρομὴν τῆς τύχης ἀκατάπληκτος προσδοκῶν πλήρης ἀείποτε θάρρους εὐμενεῖς περιστάσεις· οὐδέποτε δ' ὑποπίπτει μεγάλῃ δυσθυμίᾳ, ὡς ἡ γυνή[7], οὐ δὲ χεῖ ῥᾳδίως, ὡς αὐτή, δάκρυα[8].

Φιλότιμος δ' εἰς μέγαν βαθμὸν ὁ ἀνὴρ ὤν, θηρεύων ὅλαις δυνάμεσι τὸν παρὰ τῶν ἄλλων ἔπαινον, ἀποφεύγει ἐπιμελῶς πᾶν ὅ,τι ἐξετίθη ἂν αὐτὸν καταδεικνὺν ἀναιδῆ ἢ ψευδῆ ἢ τοιοῦτόν τινα. Φανερὸν δ' ὅτι ἡ ἀναίδεια καὶ τὸ ψεῦδος προϋποτιθέασιν ἐν πάσῃ περιπτώσει ἀσθενῆ χαρακτῆρα καὶ περιωρισμένην διάνοιαν, ἃ ἄμφω κυρίως εἰπεῖν ἀπᾴδει τῷ ἀνδρικῷ χαρακτῆρι. Ὁ ἀνὴρ ὁ τῇ ἀναιδείᾳ καὶ τῷ ψεύδει δουλεύων ἀνατέθραπται ἠμελημένως καὶ μεμόρφωκε πλημμελὲς καὶ νόθον ἦθος· διὰ ταῦτα ὁ ἀνὴρ ἐστιν ἧττον ἀναιδὴς καὶ φιλοψευδὴς ἢ ἡ γυνή[9]

Ὁ ἀνὴρ δ' ἐστὶν ἔτι καὶ ἧτον εὐαπάτητος[10]· ἔχων γὰρ τελείαν συνείδησιν ἑαυτοῦ καὶ τῶν ἀνθρωπίνων σχέσεων οὐκ ἀφίεται ῥᾳδίως ἕρμαιον καὶ θῦμα τοῦ τυχόντος φαύλου καὶ πονηροῦ

---

1) Πολ. Α. 2. 1253. α 18 - 38. — 2) Πολ. Α. 2. 1253. α 36. — 3) Ἠθ. νικ. Ζ. 7. 1150. α 7. — 4) Φυσιογν. 5. 809. б 4 - 13. — 5) Περὶ ζῴων μορ. Γ. 1. 661. б 32 - 34. — 6) Περὶ τὰ ζῷα ἱστ. Ι. 608. α 25. — 7) Περὶ τὰ ζῷα ἱστ. Ι. 1. 608. б 11. — 8) Περὶ τὰ ζῷα ἱστ. Ι. 1. 608. б 9. — 9) Περὶ τὰ ζῷα ἱστ. Ι. 1. 608. б 12. — 10) Περὶ τὰ ζῷα ἱστ. Ι. 1. 608. б 12.

γενέσθαι, ὡς ἡ γυνή, καθ' ἃ παρακατιόντες ὀψόμεθα. Ὁ ἀνὴρ πρὸς τοῖς εἰρημένοις ἐστὶ καὶ ἧττον ἐλεήμων [1], ἅτε μὴ ἔχων ὁμολογουμένως τὸν ἕνεκεν τῆς τοῦ ὀργανισμοῦ ἀσθενείας εὐαίσθητον χαρακτῆρα τῆς γυναικός, ὃς ἀναπτύσσει καὶ περιθάλπει τὸ εὖ ποιεῖν καὶ ἐλεεῖν τοὺς πέλας μετ' αὐταπαρνήσεως.

Ὁ ἀνὴρ συνελόντι εἰπεῖν ἐστιν ἧττον μαλακὸς καὶ παθητικός, ἧττον ἄθυμος καὶ ἀρίδακρυς καὶ περὶ τὴν τῶν τέκνων τροφὴν ἧττον φροντιστικός, ἧττον πανοῦργος, θυμωδέστερος μέν τοι καὶ ἀγριώτερος, ἀλλ' ὅμως καὶ ἧττον ἐπίβουλος, ἧττον ἐλεήμων καὶ συμπαθητικὸς, ἔτι δ' ἧττον φθονερός τε καὶ φιλολοίδορος, ἧττον πληκτικὸς καὶ μεμψίμοιρος, ἔτι δ' ἧττον δύσθυμον τὸ ἄρρεν τοῦ θήλεος καὶ δύσελπι, ἧττον ἀναιδὲς καὶ ψευδές, ἧττον εὐαπάτητον καὶ μνημονικόν, ἔτι δ' ἧττον ἄγρυπνον καὶ ὀκνηρὸν, ἀλλ' ὅμως, ὡς εἴρηται, βοηθητικώτερον καὶ ἀνδρειότερον [2], ἔτι δὲ καὶ δικαιώτερον τὸ ἄρρεν τοῦ θήλεος [3]

§. 15.

β'. Περὶ γυναικός.

Ὁ Ἀριστοτέλης, εἰ καὶ θεωρεῖ τὴν γυναῖκα ἐν τῷ οἰκειακῷ καὶ τῷ κοινωνικῷ βίῳ ἐκ τῶν ὧν οὐκ ἄνευ [4], ὀλίγον ποιεῖται περὶ αὐτῆς, ὡς ἠθικοῦ ὄντος, λόγον ἐν τοῖς ἠθικοῖς αὐτοῦ, πραγματευόμενος κυρίως περὶ αὐτῆς ἐν τῇ περὶ τὰ ζῷα ἱστορίᾳ καὶ ἐν τοῖς περὶ ζῴων μορίων καὶ γενήσεως συγγράμμασιν αὐτοῦ, ἐν μέρει δὲ καὶ ἐν τῇ πολιτικῇ. Ἐκ τῶν εἰρημένων δὲ συγγραφῶν δύναται ἡ περὶ τῶν ἠθικῶν καὶ διανοητικῶν ἰδιοτήτων τῆς γυναικὸς διδασκαλία τοῦ Ἀριστοτέλους συνοψισθῆναι ὡς ἕπεται:

Ἡ γυνὴ ἔχουσα διάφορον τοῦ ἀνδρός, ὡς ἀνωτέρω § 14 εἰρη-

---

1) Περὶ τὰ ζῷα ἱστ. I. 1. 608. β 8. — 2) Περὶ τὰ ζῷα ἱστ. I. 1. 608. α 21 - β 18. — 3) Φυσιογν. κεφ. 5. 809. β 11 - 13. — 4) Πολ. Α. 2. 1252. β 10. οἰκ. Α. 2 1343. α 20.

ται, ὀργανισμόν[1], κέκτηται ἐλάττονα τὸν ὄγκον τοῦ σώματος καὶ κατ' ἀκολουθίαν ἔχει τὴν ἔλλειψιν αὐτοῦ πρὸς τὸν ἄνδρα φανεράν.[2]. Ἡ σωματικὴ δ' αὕτη διαφορὰ συνεπάγεται, ὡς εἰκός, καὶ τὴν ἠθικὴν καὶ τὴν διανοητικὴν διαφοράν[3]· αἱ γὰρ διάνοιαι, ὡς ἐρρήθη, ἕπονται τοῖς σώμασι[4]. Ὁ διασκεπτικὸς νοῦς καὶ καθαρὸς λόγος παρὰ τῇ γυναικί ἐστιν ἧττον ἰσχυρός· τὰ γὰρ ἄρρενα τῶν ζώων ἐστὶ θερμότερα τῶν θηλέων[5]· τὰ δὲ θερμότερα τὴν φύσιν ζῷα τελειότερα[6]. Διὰ ταῦτα αἱ ἀρεταὶ τῆς γυναικὸς οὐκ εἰσιν ἀρχικαί, ὡς αἱ τοῦ ἀνδρός, ἀλλ' ὑπηρετικαί[7]. Ἡ γυνὴ μένουσα οἴκοι ἀναπτύσσει τὰς ἐν τῷ ὀργανισμῷ αὐτῆς δυνάμει ἐνυπαρχούσας ὑπηρετικικὰς ἀρετὰς ἤτοι πρᾳότητα, ὑπακοήν, σωφροσύνην, φιλεργίαν μετὰ τῆς προσηκούσης ἐλευθεριότητος, καὶ ἐν γένει καλὸν κἀγαθὸν τρόπον[8]· ὥστε αἱ ἰδιότητες αὗται προκύπτουσιν ἐξ αὐτῆς τῆς φύσεως τῆς γιναικός· ἡ γὰρ φύσις, φησὶν ὁ Ἀριστοτέλης, διέστησε τὸ ἦθος τῶν θηλειῶν πρὸς τὸ τῶν ἀρρένων[9].

Αἱ ἠθικαὶ μέντοι καὶ διανοητικαὶ ἰδιότητες τοῦ τε ἄρρενος καὶ τοῦ θήλεος ἐν τῇ παιδικῇ ἡλικίᾳ οὐ διακρίνονται ἀπ' ἀλλήλων, οὐ μὴν ἀλλὰ καὶ ἀπ' αὐτῶν τῶν ἀλόγων ζώων, ἐπεὶ «κατὰ τὸν χρόνον τοῦτον, λέγει ὁ Ἀριστοτέλης, ἡ ψυχὴ (τῶν ἀνθρώπων) οὐδὲν ὡς εἰπεῖν διαφέρει τῆς τῶν θηρίων ψυχῆς»[10]· καὶ εἰ μὴ ὑπῆρχεν ἡ αἰδώς, ἥπερ οὐ μόνον ταῖς γυναιξὶ διδάσκεται ἐξ ἁπαλῶν ὀνύχων, κατὰ τὸ δὴ λεγόμενον, μετ' ἐπιμελείας καὶ ἄκρας προσο-

---

1) Πρβλ. Φυσιογν. 5. 809. β 4 - 13. Περὶ τὰ ζῷα ἱστ. Α. 7. 491. β 2 - 5. Α. 17. 497. α 30. Α. 13. 493. α 24. Γ. 7. 516. α 17. - Περὶ ζῴων μορ. Β. 7. 653. α 27. Δ. 10. 688. α 20. - Περὶ ζῴων γεν. Α. 2. 716. α 13 - 23. Δ. 1. 766. α 1 - 6. — 2) Περὶ ζῴων γεν. Α. 19. 727. α 20 - 25. — 3) Φυσιογν. κεφ. 1. — 4) Φυσιογν. 1. 805. α 1 - 2. — 5) Περὶ τὰ ζῷα ἱστ. δ. 1. 765. β 16. προβλ. Δ. 25. 879. α 33. καὶ 28. 880. α 12. — 6) Περὶ ζῴων γεν. Β. 1. 733. β 31. — 7) Πρβλ. Πολ. Β. 13. 1259. β 18. 1260 β 7. καὶ Γ. 4. 1277. β 16 - 25. — 8) Πρβλ. οἰκ. 3. 1343. β 26. — 9) Περὶ τὰ ζῷα ἱστ. Ι. 1. 608. α 21 - β 18. οἰκον. Α. 3. 1343. β 26 - 1344. α 8. — 10) Περὶ τὰ ζῷα ἱστορ. Θ. 1. 588. α 31 - β 3.

χή:, ἀλλὰ καὶ αὐστηρῶς ἐπιβάλλεται, ἐπανελαμβάνετ' ἂν ἴσως ὁ αὐτὸς χαρακτηρισμὸς διὰ τὰς γυναῖκας, οἷος γέγονε διὰ τοὺς νέους [1]. Αἱ ἠθικαὶ ὅμως παρεκτροπαὶ τῆς γυναικὸς προέρχονται ἐκ τοῦ ἀσθενοῦς αὐτῆς χαρακτῆρος καὶ τῆς ἀπειρίας. Διὸ τὸ ἀποδιδόναι τὰς τοιάςδε ἢ τοιάςδε ἰδιότητας τῆς γυναικὸς τῷ εἰς ὃ ἀνήκει φύλῳ ἐστὶ πιθανόν· οὐχ ἧττον ὅμως, ὡς ἐγῷμαι, μέχρις οὗ ἡ ἀνατροφὴ τῆς γυναικὸς καὶ τοῦ ἀνδρός ἐστι πάντη ἀλλοία, πάντη διάφορος, μέχρις οὗ ὁ τρόπος τοῦ ζῆν μεταξὺ αὐτῶν οὐκ ἔστιν ὁ αὐτός, μέχρις οὗ τὰ ἤθη καὶ ἔθιμα δίδωσι δικαίωμά τι τῷ ἀνδρί, ὅπερ τῇ γυναικὶ ἀρνεῖται, μέχρις οὗ τέλος, ὁ μὲν ἀνὴρ θεωρεῖται ἀπολύτως ἐλεύθερος, ἡ δὲ γυνὴ τίθεται παρὰ τῷ δούλῳ [2], δέον ἐπέχειν περὶ τούτου ὁριστικῶς ἀποφήνασθαι.

Ἡ γυνὴ δ' ὡς μήτηρ ἐστὶν ἄγαν φιλότεκνος· ἡ πρὸς τὰ τέκνα τῶν μητέρων ἀγάπη ἐπιτείνεται ἐπὶ τοσοῦτον, ὥστε ζῶσιν ὡς εἰπεῖν χάριν αὐτῶν [3]. Οἱ δὲ λόγοι, δι' οὓς αἱ μητέρες εἰσὶ φιλοτεκνότεροι τῶν πατέρων εἰσὶ κατὰ τὸν Ἀριστοτέλη οἱ ἑπόμενοι τρεῖς: α) ὅτι ἡ γέννησίς ἐστιν ἐπιπονωτέρα· β) ὅτι αὐταὶ ἴσασι μᾶλλον, ὅτι αὐτῶν ἐστι [4]· καὶ γ) τὸ πλῆθος τοῦ χρόνου [5]. Τούτοις δὲ προσθετέον καὶ τὸν καθ' ὅλου χαρακτῆρα τοῦ θήλεος [6].

Ὁ Ἀριστοτέλης θεὶς τὴν γυναῖκα οὐ μακρὰν τῆς τῶν δούλων θέσεως, ὅπερ ταὐτὸ δεσμεύσας πᾶσαν αὐτῆς ἐλευθέραν ἠθικὴν καὶ διανοητικὴν ἐνέργειαν, καίπερ θεωρήσας τὸ βουλευτικὸν αὐτῆς ὅλως ἄκυρον [7], ἀπαιτεῖ μέντοιγε παρ' αὐτῆς ἀρετήν, καίπερ διάφορον τῆς τοῦ ἀνδρός [8]. «Θηλειῶν ἀρετή, λέγει ὁ Σταγειρίτης, σώματος μὲν κάλλος καὶ μέγεθος, ψυχῆς δὲ σωφροσύνη καὶ φιλερ-

---

1) Πρβλ. § 10 καὶ Ρητ. Β. 11. 1389 α 2-6 12. — 2(Πολ. Α. 13. 1260. β 18-19. — 3) Ἠθ. νικ. Θ. 14. 1161. α 11-27· καὶ Ι. 4. 1166. α 1-9. — 4) Ἠθικ. νικ. Θ. 7. 1168. α 23-27. Ἠθικ. εὐδ. Η. 8. 1241. β 4-9. — 5) Ἠθικ. νικ. Θ. 14. 1161. β 18-27. — 6) Περὶ τὰ ζῷα ἱστ. Ι. 1. 608. β 2. — 7) Πολ. Α. 13. 1268. α 2-13. — 8) Πολ. Α. 13. 1260. α 14-31. Πρβλ. Ρητ. Α. 9. 1367. α 16-18.

γία ἄνευ ἀνελευθερίας[1]. Οὐκ ἂν ἦν γὰρ ἄλλως δυνατὸν γυμνὴν τὴν γυναῖκα ἠθικῶν καὶ διανοητικῶν ἀρετῶν νοῆσαι, ἀφ' ὧν αὕτη εὖ τὸ ἑαυτῆς ἔργον ἀποδοίη ἄν[2]. Τῶν δ' ἠθικῶν ἀρετῶν δι' ἔθους ἡμῖν ἐγγιγνομένων[3], ἐθιστέον τὸ θῆλυ καὶ δὴ ἐξ ἁπαλῶν ὀνύχων ἐν πάσαις μὲν ταῖς ὑπηρετικαῖς ἀρεταῖς, μάλιστα δ' ἐν τῇ σωφροσύνῃ, τῇ βασιλίδι τῶν γυναικείων ἀρετῶν· πρὸς τοῦτο δὲ συμβάλλεται καὶ εἰ αἱ ἐκδόσεις ποιοῦνται πρεσβυτέραις, οὐ μόνον, ἐπεὶ αἱ νέαι πονοῦσι μᾶλλον ἐν τοῖς τόκοις καὶ διαφθείρονται αἱ πλείους αὐτῶν, ἀλλὰ καὶ πρὸς σωφροσύνην, φησὶν ὁ Ἀριστοτέλης· δοκοῦσι γὰρ ἀκολαστότεραι εἶναι νέαι χρησάμεναι ταῖς συνουσίαις[4].

Ἡ γυνὴ διὰ τὴν ἕνεκα τοῦ ἀλλοίου αὐτῆς ὀργανισμοῦ εὐαισθησίαν κέκτηται τὴν φιλανθρωπίαν καὶ ἐλεημοσύνην εἰς μείζονα βαθμὸν ἢ ὁ ἀνήρ[5]. Ἐντεῦθεν δ' ἴσως καὶ τὸ ἀρίδακρυ αὐτῆς[6]. Τὸ εὐαίσθητον δὲ καὶ παθητικόν, ἅμα δὲ τὸ δειλὸν καὶ ἀσθενὲς αὐτῆς[7], ὑποδηλοῖ καὶ αὐτὴ ἡ φωνὴ αὐτῆς[8]. Διὰ ταῦτα δ' ἡ γυνὴ ἐν θλιβεραῖς καὶ δοκιμασίας περιστάσεσιν ἔχει μεγίστην παρηγορητικὴν δύναμιν.

Τὸ μαλακὸν δ' αὐτῆς ἦθος καὶ ἡ παθητικότης εἰσὶ πανθομολογούμενα[9]. Συνειδυῖα δὲ τὴν ἑαυτῆς θέσιν καὶ σχέσιν, ἣν πρὸς τὸν ἄνδρα ὡς ἡγεμονικώτερον, καθ' ἃ ἀμείνονα, ἔχει, θέσιν ὅλως παθητι-

---

1) Ρητ. Α. 5. 1361. α 6 - 8. — 2) Ἠθικ. νικ. Β. 5. 1106. α 14 - 16. Ζ. 2. 1139 α 15 - 17. — 3) Ἠθ. νικ. Β. 1. 1103. α 14 - 20. — 4) Πολ. Η. 16. 1835. α 17 - 24. Περὶ τὰ ζῷα ἱστ. Η. 1. 581. β 16 - 18. — 5) Πρβλ. περὶ τὰ ζῷα ἱστ. Ι. 1. 608 β 8. — 6) Περὶ τὰ ζῷα ἱστ. Ι. 1. 608. β 9. — 7) Φυσιογν. 2. 806. α 19 - 807. α 30. — 8) Πρβλ. Πολ. Α. 2. 1253. α 9 - 18. Περὶ ζῴων γεν. Ε. 7. 786 β 7 - 788. β 2. Φυσιογν. 2. 806. β 26. 27. 807. α 13 - 25. 6. 813. α 31 - β 6. Πρβλ. ἔτι περὶ ζῴων γεν. Ε. 1. 778. α 18. Περὶ τὰ ζῷα ἱστ. Ε. 14. 545. α 6. Ι. 20. 617. β 9. Ἠθ. νικ. δ. 8. 1125. α 13. Ρητ. γ. 1. 1403. β 29. 30. Περὶ ἀκουσμ. 803. α 6. Φυσιογν. 2. 806. β 26, 27. Προβλ. ια. 3. 899. α 12. 6. 899. α 22. 16. 900. β 23. 17. 900 β 29. 61. 905. β 38. 19. 901. α 8. — 9) Περὶ τὰ ζῷα ἱστ. Ι. 1. 608. α 25. Πρβλ. καὶ περὶ ζῴων γεν. Α. 20. 729. α 24. - β 14.

κὴν, ἀποβαίνει πάνυ εὔπιστος καὶ πλειστάκις οἰκτρὸν θῦμα παντὸς φαύλου καὶ πονηροῦ[1].

Ἀλλ' ὡς ἡ γυνὴ κοσμεῖται ὑπὸ τῶν εἰρημένων ἀρετῶν καὶ πλείστων ἄλλων, οὕτως αὖ ἀσχημίζεται ὑπό τινων σπουδαίων ἐλαττωμάτων, οἷον τὸ ψεῦδος, ἡ ἀναίδεια, ὁ φθόνος καὶ τὰ τούτοις παραπλήσια. Βεβαίως ὁ ἀνὴρ οὐκ ἔστι τὸ πάραπαν τῶν ἠθικῶν τούτων κακιῶν ἀπηλλαγμένος, οὐχ ἧττον οὐ κέκτηται ταύτας εἰς τοιοῦτον βαθμόν, εἰς οἷον ἡ γυνή. Διὸ αὐτή ἐστι καὶ ἀναιδεστέρα καὶ ψευδεστέρα[2]. Μάλιστα τὸ τελευταῖον ἤτοι ὁ φθόνος ἐπικρατεῖ πάντων τῶν λοιπῶν λαμβάνον ὡς συνεργὸν τὸ σκόμμα καὶ τὸν λοίδορον[3]. Διὸ ἡ γυνὴ ἐν ταῖς ἑαυτῆς διαμάχαις, ἃς ἰδίως συγκροτεῖ πρὸς τὸ ἴδιον ἑαυτῆς φύλον ἀναπτύσσει τὸ αἴσθημα τοῦ ψεύδους καὶ τῆς ἀναιδείας εἰς μέγαν βαθμόν, δυναμένη προχειρότατα ἀρνήσασθαι μετὰ σιδηρᾶς μάλιστα ἰσχυρογνωμοσύνης καὶ αἰσχίστης ἀναιδείας καὶ αὐτὴν ἔτι τὴν ὀφθαλμοφανῆ καὶ παρὰ πάντων μαρτυρομένην ἔνοχον αὐτῆς πρᾶξιν.

Ἡ γυνή ἐστι δ' ἔτι καὶ κακουργοτέρα, καίπερ μαλακωτέρα καὶ προσηνεστέρα τὴν ψυχὴν[4] καὶ ἧττον ἁπλῆ καὶ προπετεστέρα, καὶ περὶ τὴν τῶν τέκνων τροφὴν φροντιστικωτέρα ἢ ὁ ἀνήρ[5].

Ἡ γυνὴ συντόμως δ' εἰπεῖν χαρακτηρίζεται καὶ ὡς μεμψιμοιροτέρα καὶ πληκτικωτέρα[6]. μᾶλλον δύσθυμος[7] «ἀθυμότερα γὰρ τὰ θήλεα πάντα τῶν ἀρρένων[8]», καὶ μᾶλλον δύσελπις τοῦ ἀνδρὸς[9]. Τὸ τοιοῦτον δὲ προέρχεται καὶ ἐκ τοῦ δειλοῦ αὐτῆς χαρακτῆρος «δύσελπίς τις γὰρ ὁ δειλός»[10]. Πρὸς δὲ μνημονικωτέρα καὶ ἀγρυπνοτέρα»[11], ἄλλως καὶ ὅλως ὀκνηροτέρα καὶ ἀκινητοτέρα[12] Διὰ ταῦτα ἔχει καὶ τὴν διάνοιαν μαλακήν, αἱ γὰρ νωθραὶ κινή-

---

1) Περὶ τὰ ζῷα ἱστ. Ι. 1. 608. 6 12. — 2) Περὶ τὰ ζῷα ἱστ. Ι. 1. 608. 6 12. — 3) Περὶ τὰ ζῷα ἱστ. Ι. 1. 608. 6 10. — 4) Φυσιογν. 5. 809. α 31. — 5) Περὶ τὰ ζῷα ἱστ. Ι. 1. 608. 6 1. — 6) Περὶ τὰ ζῷα ἱστ. Ι. 1. 608. 6 10. 7) Περὶ τὰ ζῷα ἱστ. Ι. 1. 608. 6 11. — 8) Περὶ τὰ ζῷα ἱστ. Ι. 1. 608. α 33. — 9) Περὶ τὰ ζῷα ἱστ. Ι. 1. 608. 6 12. — 10) Ἠθικ. νικ. Γ. 10. 1116. α 2. — 11) Περὶ τὰ ζῷα ἱστ. Ι. 1. 608. 6 13. — 12) Περὶ τὰ ζῷα ἱστ. Ι. 1. 608. 6 13.

σεις, φησὶν ὁ Ἀριστοτέλης, σημαίνουσι μαλακὴν διάνοιαν[1]. Ἐπειδὴ δ' ἡ γυνή ἐστι τὰ πολλὰ βραδυτέρα [2] καὶ ὀκνηροτέρα ἢ ὁ ἀνήρ [3] δοκεῖ καὶ μικρόψυχος εἶναι[4]· Ναὶ μὲν κέκτηται ἡ γυνὴ φύσιν δειλοτέραν. ἢ ὁ ἀνήρ, ἀλλὰ καὶ ἀδικωτέραν[5].

ΕΠΙΛΟΓΟΣ

Ἀνακεφαλαίωσις τῶν εἰρημένων.

§. 16.

Περάνας, εὐδοκοκοῦντος τοῦ θείου, τὴν παροῦσαν πραγματείαν θεωρῶ οὐκ' ἄσκοπον ἀνακεφαλαιῶσαι ὡς οἷόν τε συντόμως τὰ εἰρημένα.

Καὶ δή.

Ὁ Ἀριστοτέλης δοξάζει, ὅτι ὁ ἄνθρωπος συνέστηκεν ἐκ σώματος καὶ ψυχῆς λογικῆς καὶ ἑπομένως μόνος τῶν ἄλλων ζῴων λογικὸς ὢν καὶ μόνος τῶν ἄλλων ζῴων ἢ μάλιστα τοῦ θείου μέτοχος.

Ἐκ τῆς λογικότητος δὲ ταύτης τῆς ψυχῆς πηγάζει τὸ αὐτεξούσιον τοῦ ἀνθρώπου ἤτοι ἡ ἐλευθέρα βούλησις τοῦ πρᾶξαι εἴτε τὸ καλὸν κἀγαθὸν καὶ ἀποβῆναι καλὸν κἀγαθὸν εἴτε τὸ κακὸν καὶ πονηρὸν καὶ ἀποβῆναι φαῦλον καὶ μοχθηρόν, ἅτε τῆς δυνάμεως τοῦ γενέσθαι τοιοῦτον ἢ τοιοῦτον τὸν ἄνθρωπον κειμένης ἐν αὐτῷ §. 2.

1) Φυσιογν. 2. 806. 6 25. — 2) Περὶ τὰ ζῷα ἱστ. Κ. 5. 636. 6 18. — 3) Περὶ τὰ ζῷα ἱστ. α. 1. 608. 6 13. — 4) Ἠθικ. νικ. Δ. 9. 1125. α 19-24. — 5) Φυσιογν. 5. 809. 6 13.

Ὥστε φαίη τις ἄν, ὅτι αἱ ἠθικαὶ καὶ διανοητικαὶ ἀρεταὶ καὶ κακίαι εἰσὶ γνήσιαι θυγατέρες τῶν αὐτῶν γονέων, ἀλλ' αἱ μὲν πρῶται ὑγιῶν αὐτῶν ὄντων καὶ βέλτιστα ἐχόντων, αἱ δὲ δεύτεραι διεφθαρμένων αὐτῶν ὄντων καὶ κάκιστα ἐχόντων. §. 3.

Ὁ Ἀριστοτέλης θεωρεῖ τὸν ἄνθρωπον μόνον ἐν τῇ πολιτείᾳ ἄνθρωπον, διότι ἐν αὐτῇ μόνον μετὰ τῶν ἄλλων λογικῶν ὄντων συγχρώμενος δύναται ἀναπτύξαι τὰς ἐν αὐτῷ δυνάμει ἐνούσας ἠθικὰς καὶ διανοητικὰς ἀρετὰς καὶ κακίας, ὧν ἕνεκα ἕκαστος τῶν ἀνθρώπων λέγεται ἀγαθὸς ἢ φαῦλος, δίκαιος ἢ ἄδικος· τούτου δ' ἕνεκα διεῖλεν ἅπασαν τὴν ἀνθρωπότητα εἰς δύο μεγάλας μερίδας καὶ ταύτας αὖ ὑποδιελὼν εἰς ἑτέρας δύο ἀποτετέλεκε δύο δυάδας §. 4.

Κατὰ ταῦτα ἐν μὲν τῷ πρώτῳ μέρει τῆς πρώτης δυάδος, ἔνθεν μὲν ἐπικρατεῖ καὶ ἐξαίρεται ἡ γνησιότης τοῦ γένους καὶ τὸ γνώριμον τῶν ἀρχηγῶν αὐτῶν ἢ ἐπ' ἀρετῇ ἢ πλούτῳ ἢ ἄλλῳ τινὶ τῶν ὑπὸ τῶν ἀνθρώπων τιμωμένων καὶ τὸ ἐπιφανὲς τῶν ἀμέσως ἀπογόνων αὐτῶν §. 5· ἑτέρωθεν δ' ἐπικρατοῦσιν αἱ διανοητικαὶ ἀρεταὶ § 6. Ἐν δὲ τῷ δευτέρῳ μέρει τῆς αὐτῆς δυάδος ἐπικρατοῦσιν αἱ ἠθικαὶ ἀρεταὶ §. 7.

Διὰ ταῦτα οἱ μὲν τοῦ πρώτου μέρους τῆς πρώτης δυάδος εἰσὶ μᾶλλον ἐσθλοί, φιλότιμοι, ἀνδρεῖοι, καὶ συνελόντι εἰπεῖν δεινοὶ καὶ συνετοί, καὶ δὴ χαρακτηριζόμενοι ὡς ἄριστοι θεωροῦνται πάνυ δικαίως ὡς καταλληλότατοι ἐν τῷ ἄρχειν· οἱ δὲ τοῦ δευτέρου μέρους τῆς αὐτῆς δυάδος εἰσὶ μᾶλλον ἐπιεικεῖς, ἀγαθοί, πρᾳεῖς, ἀμνησίκακοι, συγγνωμονικοί, δίκαιοι, σώφρονες, φρόνιμοι, στοχαστικοὶ χρηστοί, καὶ εἴ τι ἕτερον τοιοῦτον, καὶ δὴ θεωροῦνται αὐτοδικαίως ὡς οἱ βέλτιστοι τῶν πολιτῶν.

Ἐν δὲ τῇ δευτέρᾳ δυάδι ἐν μὲν τῷ πρώτῳ μέρει αὐτῆς ἐπικρατοῦσιν αἱ ἀρνητικαὶ κακίαι, §. 8· ἐν δὲ τῷ δευτέρῳ αἱ θετικαί. §. 9.

Διὰ ταῦτα οἱ μὲν πρῶτοι εἰσιν ἄκριτοι, ἀναίσθητοι, ἀνδραποδώδεις, ἀπειθεῖς τῷ λόγῳ, ἀνόητοι, ἠλίθιοι, ἀγροῖκοι, καταπλῆγες, χαῦνοι, μικρόψυχοι, φίλαυτοι φιλοκερδεῖς, μὴ μεταδοτικοί, ἀ-

γνώμονες, ἀνελεύθεροι, αἰσχροί, ἄπληστοι, φιλοκόλακες, ἀηδεῖς, βωμολόχοι, θρασεῖς, δειλοί, δυσέριδες καὶ τὰ τούτοις παραπτήσια· οἱ δὲ δεύτεροι πρὸς πολλοῖς τῶν εἰρημένων εἰσὶν ἔτι καὶ πονηροί, μοχθηροί, κακοί, ἀναίσχυντοι, ἀλαζόνες, φθονεροί, ἐπιχαιρέκακοι, ἄσωτοι, ἀκόλαστοι, ἀκρατεῖς, εὐμετάβολοι, αἰσχροκερδεῖς, μνησίκακοι, θηριώδεις καὶ εἴτι ἕτερον τοιοῦτον.

Ἐν δὲ ταῖς τρισὶ τῆς ἀνθρωπίνης ἡλικίας βαθμίσιν ἐπικρατεῖ ἐν μὲν τῇ νεανικῇ ἡλικίᾳ ἡ ὁρμὴ καὶ τὸ κατ' ἦθος ζῆν § 10. ἐν δὲ τῇ παρηκμακυίᾳ τὸ κατὰ λογισμὸν ζῆν καὶ τὸ ὑλικὸν συμφέρον § 11. Ἐν δὲ τῇ ἀκμαζούσῃ ὁ λογικῶς ἁρμόττων ἀμφοτέροις συνδυασμός § 12.

Διὰ ταῦτα, οἱ μὲν νέοι εἰσὶν ἐπιθυμητικοὶ καὶ ἀκρατεῖς, εὐμετάβολοι καὶ ἀψίκοροι, θυμικοὶ καὶ ὀξύθυμοι, φιλόνικοι μᾶλλον ἢ φιλότιμοι, ἧττον φιλοχρήματοι, εὐήθεις μᾶλλον ἢ κακοήθεις, εὔπιστοι καὶ εὐέλπιδες, ἀνδρεῖοι καὶ μεγαλόψυχοι, αἰσχυντηλοί, φιλόφιλοι, καὶ φιλοίκειοι, καὶ φιλέταιροι, δοκισίσοφοι, πάντα γὰρ οἴονται εἰδέναι, καὶ διϊσχυρίζονται, ὑβρισταί, ἀδικοῦσι γὰρ ἀδικήματα εἰς ὕβριν, ἐλεητικοί, φιλογέλωτες καὶ εὐτράπελοι. Οἱ δὲ παρηκμακότες εἰσὶ σκεπτικοί, οὐδὲν γὰρ οἴονται εἰδέναι, οὐδὲ διαβεβαιοῦνται, καχύποπτοι, ἄπιστοι, ἀναίσχυντοι, μικρόψυχοι, δειλοί, ἀνελεύθεροι, φιλόζωοι, φίλαυτοι μᾶλλον ἢ δεῖ, ἧττον φιλόφιλοι, καὶ φιλοίκειοι, καὶ φιλέταιροι, δυσέλπιδες, κακοήθεις, πάντα γὰρ ὑπολαμβάνουσιν ἐπὶ τὸ χεῖρον· κακοῦργοι, ἀδικοῦσι γὰρ ἀδικήματα εἰς κακουργίαν, ἀδόλεσχοι, τωφρονικοί, ἐλεητικοί, ἀλλ' οὐ διὰ φιλανθρωπίαν ἀλλὰ δι' ἀσθένειαν, ὀδυρτικοὶ καὶ τὰ τούτοις ὅμοια. Οἱ δὲ ἀκμάζοντες ὡς τοιοῦτοί εἰσιν ὅσον ἀνθρώπῳ ἐφικτὸν τέλειοι. Ἐπεὶ ὅσα μὲν διήρηται ἡ νεότης καὶ τὸ γῆρας τῶν ὠφελίμων ταῦτα ἄμφω ἔχουσιν, ὅσα δ' ὑπερβάλλουσιν ἢ ἐλλείπουσι, τούτων τὸ μέτριον καὶ τὸ ἁρμόττον κέκτηνται.

Ἐν δὲ τῷ περὶ ἀνδρὸς τέλος καὶ γυναικὸς ἐπικρατεῖ τῶν λοιπῶν ἠθικῶν καὶ διανοητικῶν ἰδιοτήτων, ἐν μὲν τῷ πρώτῳ τὸ ἡγεμονικόν, ὁ λόγος καὶ αἱ ἀρχικαὶ ἀρεταὶ § 14· ἐν δὲ τῇ δευτέρᾳ ἡ παθητικότης, τὸ κατ' ἦθος ζῆν, καθ' ἅπερ οἱ νέοι, καὶ αἱ ὑπηρε-

τικαὶ ἀρεταὶ § 15· ἤτοι ὁ μὲν ἀνήρ ἐστι φρόνιμος, συνετός, ἀνδρεῖος, εὐσταθής, καρτερικός, διὸ καὶ βοηθητικώτερον τὸ ἄρρεν τοῦ θήλεος, μεγαλόψυχος, μεγαλόφρων, ἐγωϊστὴς καὶ τὰ ὅμοια· ἔτι δὲ συγχρώμενος τοῖς ἑαυτοῦ πέλας ἐν τῇ πολιτείᾳ ἀποβαίνει ἀγαθὸς ἢ κακός, δίκαιος ἢ ἄδικος, σώφρων καὶ πρᾶος, ἢ ἀκόλαστος καὶ ὀργίλος καὶ εἴτι ἕτερον τοιοῦτον· ἡ δὲ γυνή ἐστι σώφρων, αἰδήμων, πρᾳεῖα, εὐπειθής, ὑπομονητική, φίλεργος μετὰ τῆς προσηκούσης ἐλευθεριότητος καὶ ἐν γένει καλῶν καὶ χρηστῶν τρόπων. Ἔτι δὲ τὸ θῆλυ χαρακτηρίζεται καὶ ὡς ἐλεημονέστερον τοῦ ἄρρενος, μᾶλλον ἀρίδακρυ, ἔτι δὲ φθονερώτερον, μεμψιμοιρότερον καὶ μᾶλλον φιλολοίδορον, μᾶλλον δύσθυμον καὶ δύσελπι, ἀναιδέστερον καὶ ψευδέστερον, εὐαπατητότερον δὲ καὶ μνημονικώτερον καὶ ὅλως ἀκινητότερον τὸ θῆλυ τοῦ ἄρρενος· ἔτι δὲ προσηνέστερον καὶ μαλακώτερον τὴν ψυχὴν, ἀλλὰ καὶ κακουργότερον καὶ ἀδικώτερον.

ΠΙΝΑΞ ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ